Respexit haec etiam Plutarchus de facie in orbe lun. c. 19: *Εἰ δὲ μὴ Θέων ἡμῖν οὗτος τὸν Μίμνερμον ἐπάξει καὶ τὸν Κυδίαν καὶ τὸν Ἀρχίλοχον, πρὸς δὲ τούτοις τὸν Στησίχορον καὶ τὸν Πίνδαρον, ἐν ταῖς ἐκλείψεσιν ὀλοφυρομένους τὸν φανερώτατον κλεπτόμενον καὶ μέσῳ ἄματι νύκτα γινομένην, καὶ τὴν ἀκτῖνα τοῦ ἡλίου σκότους ἀτραπὸν .. φάσκοντας.* ubi ultima tantum ex Pindaro, cetera ex aliis poetis petita sunt. Initium (v. 1—8) exhibet Philo de provid. II p. 96 ex Armena lingua conversus ab Auchero: „Vide quam bene expergefaciat abhorrentem a philosophia lyricorum poetarum optimus Pindarus, eclipsin intuitus lucis Solis, dicit enim: *Radium Solis, tyro, multum intueri, ne nimis concedus tuis oculis corporeis. Sidus superexcellens diem vocatum, quod regem constituisti, virtutem eius, quo et sapientiae viae evanescunt tenebrae, regere iuveniliter, quam anterius. Verum te in curru Iovis eque Deus* (*aut*: in Iovis equo Deus) *roga, indemnes ad temperantiam sint commutationes. Quam cantabo o gloriosa modesta aequissima* (*vel communissima*) *ars.*“ Neumann (Berliner Jahrb. f. wiss. Kr. 1829 II 811) sic ex Armeniorum sermone transtulit: „*Dass du Strahl der Sonne, Jüngling allleuchtender* (*allwissender*), *dich nicht hingebest der Ermüdung deiner körperlichen Augen, Stern hier oben, über den Tagerschaffer, den da setzte der König der Macht, dessen Weisheitsweg Finsterniss nicht kennt, o sei noch jugendlicher denn zuvor! Aber dich Goettergespann des Zeus flehe ich an, du berührt durchaus nicht von den Wandelungen der Veränderlichkeit, dich besinge ich o herrliche, keusche, allgemeine Wundererscheinung.* „Disputavit etiam de hoc loco G. Boetticher (Annal. Antiq. 1853 p. 184), qui Aucheri versioni fidem abrogat et quae ipse ex Armeno exemplo sibi eruisse visus est, indicat. Ceterum vix ullus usus est illius loci apud Philonem: nam Armenus interpres, cum graeca verba parum intelligeret, et partim iam depravata reperiret, fere id quod divinavit expressit. — Eodem respicit Philo p. 110, sed Graeca quoque extant ap. Euseb. Praep. Ev. VIII 395 C: *θείαις γὰρ φύσεσιν Ἡλίου καὶ Σελήνης ἐπακολουθοῦσιν ἐκλείψεις, αἱ δὲ μηνύματά εἰσιν ἢ βασιλέων τελευτῆς ἢ πόλεων φθορᾶς· ὃ καὶ Πίνδαρος ἠνίξατο γενομένης ἐκλείψεως διὰ τῶν πρόσθεν εἰρημένων.* — Peculiarem commentationem de hoc carm. scripsit G. Herm. Lips. 1845. Ceterum collati sunt duo cod. Dionysii Parisini, n. 1742 (P1) et 1745 (P2) apud Schneidewinum. — In numeris huius carminis constituendis saepius et a Boeckhio et ab Hermanno discessi, partim Hartungum secutus, qui recte intellexit potissimum anapaestis logaoedicis hic usum esse Pindarum. — V. 1. *ἐμήσω ἐμῶν μᾶτερ ὀμμάτων* scripsi, cum in epecdosi *ἐμήσαο θοῶν μ. ὀ.* edidissem, atque *ἐμήσω* etiam Bamberger et Emperius, *μᾶτερ* Boissonade legendum esse viderunt: apud Dionys. est *ἐμῆς θεῶ μ᾽ ἄτερ ὀμμάτων*, unde Schneider *τί πολύσκοπον ἐρημώσαισα μέτρον ὀμμάτων*, Boeckh *ἐμαῖς θέαις μέτρ᾽ ὀμμάτων*, Dissen *ἐμοὶ θέας μέτρ᾽ ὄμμασιν*. Hermann olim *ἐμοὶ θοῶν μέτρον ὀμμάτων*, ut hoc arctissime cohaereat cum seqq., postea *τί πολ. ἐμῶν μᾶτερ ὀμμάτων*, denique *τί, πολύσκοπε, μηδομενα πότ᾽ ὦ δμάτειρ᾽ ὀμμάτων*, unde Schneidewin *μηδομένα, μᾶτερ ὀμμάτων*. Respicit enim huc Philostr. Epist. 53: *καὶ τὸ κάλλος ἡδονὴν ὥσπερ ἐκ κατόπτρου ἐμφαίνει τὰ τῆς περὶ τῷ προσώπῳ γαλήνης, ἣν εἰ μὴ θολώσεις, ἄστρον ὑπέρτατον ἐν ἀμέρᾳ βλεπόμενον δόξεις· εἰ δὲ ἐκ Πινδάρου ταῦτα, κἀκεῖνό που κατὰ Πίνδαρον τὸ τὴν ἀκτῖνα τὴν ἀπὸ σοῦ πηδῶσαν εἶναι τῶν ἐμῶν ὀφθαλμῶν μέτρα.* ita vulgo, unde homines docti *μέτρα* Pindaro vindicarunt, quocum compares Eurip. Suppl. 650: *Ἀκτὶς ἡλίου κανὼν σαφής*, sed Philostrati codd. ut videtur, omnes *μητέρα*, idque in Dionysii lectione delitescit, ac Philostrati loco usus Boissonade *ἐμῶν θεὰ μᾶτερ ὀμμάτων* coniecit, Boetticher Armenum interpretem *Ἀκτὶς ἀελίου παῖ πολύσκοπε μὴ ... σωματικῶν ὀμμάτων*

ἄστρον ὑπέρτατον ἐν ἀμέρᾳ κλεπτόμενον,
ἔθηκας ἀμάχανον ἰσχὺν
ποταίνιον ἀνδράσιν· εὐσωπίας ὁδὸν
λίπες, σκότου ἀτραπὸν ἐσσυμένα
ἐλᾷν τι νεώτερον ἢ πάρος.
ἀλλά σε πρὸς Διὸς ἵππους τε θοὰς ἱκετεύω,
ἀπήμον' ἐς οἶμον τινὰ τράποιο Θήβαις, ὦ πότνια, πάγ-
κοινον τέρας.
πολέμου δ' εἰ σᾶμα φέρεις τινός, ἢ

legisse censet, unde Hartung ἀκτίς, ἀελίοιο παῖ, πολυσκόπων μάκιστα μέτρ' ὀμμάτων, ἄστρον ὑπ. ἐν ἀμ. τί κλεπτόμενον ἔθηκας ἀμ. κτλ. Post ὀμμάτων interrogandi signum posui, nam ἄστρον . . . κλεπτόμενον non continent appositionem ad ἀκτὶς ἀελίου, sed sunt nominativi absoluti, qui arcte cohaerent cum seqq. — V. 2. resp. Schol. Arati Phaen. 11: λέγεται δὲ καὶ ὁ ἥλιος ἄστρον ἰδίως, παρὰ δὲ Πινδάρῳ ἄστρον ὑπέρτατον. — κλεπτόμενον, Philonis interpretem λεγόμενον vel καλούμενον legisse censet Boetticher, ap. Philostr. est βλεπόμενον, sed probabiliter Hermann ibi coniecit: ἦν εἶ μοι θολώσεις . . . κλεπτόμενον δόξεις, ap. Pind. idem coni. κλεπτόμενον λιποῖσ'. — V. 3. ἀμάχανον, P1 ἀγμάχανον. Boetticher putat Armenum ἀγετίδα vel ἀγεμόναν reperisse.— V. 4. ποταίνιον ἀνδράσιν· εὐσωπίας ὁδὸν λίπες, σκότου ἀτραπὸν ἐσσυμένα scripsi, legitur vulgo πτανὸν ἀνδράσι (P2 δράσιν) καὶ σοφίας ὁδὸν ἐπισκόπτεν (P1 ἐπισκόπτον, P2 ἐπίσκοπον) ἄτροπον ἐσσαμένα (P1 ἐσσαμμένα). Pro πτανὸν cum olim ποτανάν (Hermann ποτανόν, Schneidewin ποτανὰν φρασίν pro ἀνδρ., Boetticher ἀγανὰν coniecit), scripsissem, nunc ποταίνιον restitui. Deinde σοφίας ὁδόν, quod etiam Philo testatur, nullo pacto cum ἰσχὺν ἔθηκας ἀμάχανον conciliari potest; aliquando existimavi ὁδόν delendum esse, ut scripserit poeta καὶ σοφίαν (hoc etiam Kayser suasit) ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα, sed non placent iidem numeri versuum usque repetiti: itaque veri est simillimum poetam de Solis radiis utrumque vocabulum ὁδόν et ἀτραπόν dixisse, quippe qui solita via relicta devium tramitem sequi videretur; quare post ἀνδράσι distinxi et scripsi εὐσωπίας (Hesych. εὐσωπία, ἡσυχία) ὁδὸν λίπες, σκότου ἀτραπὸν ἐσσυμένα: tria novissima verba iam Schneider restituit, Plutarchi loco usus, nisi quod σκότους scripsit, quam genitivi formam a Pindari usu alienam esse Hermann animadvertit. Hermann scripsit ἰσχὺν ποτανὸν ἀνδράσι καὶ σαφανείας ὁδόν; ἢ που ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα ἐλαύνεις τ. κτλ., Schneidewin, ὁδόν, ἐπεὶ σκότου ἀτ. ἐσ. ἐλαύνεις τί ν. ἢ πάρος; Boetticher censet Armenum καὶ σοφίας ὁδόν (vel potius ὁδοῦ sive ὁδῷ) ἐπίσκοτον ἀτριβῆ ἐσσυμένα ἐλαύνειν legisse, Hartung haec sic disposuit: καὶ σ. ὁδόν, ἐπίσκοτον ἀτ. ἐσ. ἐλαύνειν; τί νεώτερον ἢ πάρος μενοινᾷς; — V. 6. ἐλᾷν scripsi, vulgo ἐλαύνειν, P2 ἐλαύνεις, ut Schneider coniecit. — V. 7. ἵππους τε θοάς scripsi, cum in epecdosi ἱπποσόα σ' suspicatus essem, vulgo ἵππος θοάς (P1 θαθοᾶς, P2 θαθοάς), Philonis interpres ἵππος (vel ἵππε) θεὸς videtur legisse. Hermann olim ἵπποις θοαῖς, postea ἵππους θοάσαισ' (vel ἵπ. στάσαισα θοάς), Bamberger et Emperius ἵπποις θεὰ θοαῖς, Schneidewin ἵππους ζαθέας. — V. 8. ἀπήμον', libri et vulgo ἀπήμονα. — οἶμον Hermann, vulgo ὄλβον, antea Hermann hoc tuitus erat, τινά delens. — τράποιο Hermann olim, postea probavit τράποις, quod Schneidewin coniecit, libri τρόποιο, Philonis interpres Boettichero videtur legisse τροπαί . . . ἄσω σεμνὸν (at legit haud dubie πότνια, sed non intellexit) πάγκοινον. His nihilominus usus Hartung scripsit τράποις, ὥς σ' ἀείσω, πότνια κτλ. — V. 9. δ' εἰ σᾶμα Hermann, δὴ σᾶμα Scaliger, δὶς ἅμα libri.

καρποῦ φθίσιν, ἢ νιφετοῦ σθένος
ὑπέρφατον, ἢ στάσιν οὐλομέναν,
ἢ πόντου κενέωσιν ἀνὰ πέδον,
ἢ παγετὸν χθονός, ἢ νότιον θέρος
ὕδατι ζακότῳ διερόν,
ἢ γαῖαν κατακλύσαισα θήσεις
ἀνδρῶν νέον ἐξ ἀρχᾶς γένος,
ὀλοφύρομαι οὐδὲν ὅ τι
πάντων μέτα πείσομαι.

---

85. [75.]

⏑ –́ ⏑ – –́ ⏑ – –
⏑ –́ ⏑ – –́ ⏑ – –́ ⏑ – ⏑ – ⏑⏑́ ⏑ – ⏑ –
⏑ –́ –́ ⏑ –́ ⏑ ⏑ – . . .

Θεοῦ δὲ δείξαντος ἀρχάν
ἕκαστον ἐν πρᾶγος εὐθεῖα δὴ κέλευθος ἀρετὰν ἑλεῖν,
τελευταί τε καλλίονες.

V. 10. Hermann verba ἢ νιφετοῦ . . . οὐλομέναν tacitus, sed opinor invitus, omisit. Ceterum offendit, quod nou solum eadem fere mala saepius commemorantur, velut diluvies v. 12 et 15, sed etiam iustus ordo desideratur, quandoquidem ut exemplo utar post belli calamitates ex more intestina civium dissidia recensenda erant: ambigo autem utrum haec poeta consulto instituerit, an iustus ordo librariorum socordia, quod hic facile poterat fieri, sit turbatus: nihil tamen novavi. — V. 11. οὐλομέναν P12, vulgo οὐλομένην. — V. 12. κενέωσιν, P1 κεῶσιν. — ἀνὰ Scaliger, libri ἀλλὰ, Hermann ἀμ. — V. 13. ἢ παγετὸν χθονὸς, non solum mirum accidit post nivis vim (v. 10) rursus pruinam recenseri, sed magis etiam additum χθονὸς offendit: conicci verba ἢ παγετὸν plane delenda esse, ut poeta dixerit ἢ πόντου κενέωσιν ἀνὰ πέδον χθονός, aut scribendum χθονός, ἢ πάγον. — V. 14. διερὸν Scaliger, vulgo ἱερόν. — V. 15. κατακλύσαισα Boeckh, v. κατακλύσασα, — θήσεις Barnes, v. θήσει. — V. 16. νέον, P1 νέων. — ἀρχᾶς Boeckh, v. ἀρχῆς. — V. 17. ὀλοφύρομαι οὐδὲν ὅ τι (vel ὅπερ) πάντων μέτα πείσομαι Hermann, cum ante ὀλοφυρομένων πάντων μέτα πείσομαι scripsisset, vulgo ὀλοφυ. . . . πάντων μεταπείσομαι, quasi haec duo verba ad Dionysii orationem pertinerent, sed P2 ὀλοφ. . . . . . δεν ὅτι πάντων μεταπείσομαι· κἀνταῦθα (hoc etiam P1) οὐ . . ληγορία.ὡς παρὰ Πλάτωνι.

Fr. 85. Epist. Socr. 1: ἀπειθεῖν δὲ αὐτῷ ὀκνῶ καὶ τὸν Πινδάρειον ἡγούμενος εἰς τοῦτο εἶναι σοφόν, ὅς φησιν· Θεοῦ δὲ δείξαντος ἀρχὰν κτλ. σχεδὸν γὰρ οὕτω που αὐτῷ ἔχει τὸ Ὑπόρχημα. Aristid. II 571: Θεοῦ δή φησι Πίνδαρος δείξαντος ἀρχὴν εὐθεῖα δὴ κέλευθος ἑλεῖν (sic ΓΔΘL, vulgo εὑρεῖν) τὸ προκείμενον. Cf. ib. I 382. — V. 2. ἐν, Allatius ἓν, Zeller ἐς non recte.

86. [228.]

⏑ –́ –́ ⏑ – –́ ⏑ – ⏑ – ⏑ –
⏑ –́ –́ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –́ ⏑ ⏒
⏑ ⏖́ –́ ⏑ ⏖ ⏑ ⏖́ ⏖́ ⏑ –
⏑ ⏑ –́ ⏑ – ⏑ – – –́ ⏑ ⏑ ⏒

Τὸ κοινόν τις ἀστῶν ἐν εὐδίᾳ τιθείς
ἐρευνασάτω μεγαλάνορος Ἀσυχίας τὸ φαιδρὸν φάος,
στάσιν ἀπὸ πραπίδος ἐπίκοτον ἀνελών,
πενίας δότειραν, ἐχθρὰν κουροτρόφον.

87. [76.]

⏑́⏑ ⏑ – – ⏑́⏑ ⏑ – ⏑ – –́ ⏑ – ⏑ –
– –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ – ⏑ – ⏓

Γλυκὺ δ' ἀπείροισι πόλεμος· πεπειραμένων δέ τις
ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς.

88. [77.]

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏒́ ⏑ –́ ⏑ ⏑ – ⏓
– ' ⏑ ⏑ – ⏑ – ⏑ ⏑ –́ ⏑ | – ⏒́ | ⏑ ⏑ – –́ ⏑ – ⏑ – –
– –́ ⏑ ⏑ – ⏑ – ⏒́ – –́ . . . . . .

Ἐνέπισε κεκραμέν' ἐν αἵματι, πολλὰ δ' ἕλκε' ἔμβαλε
νωμῶν

Fr. 86. Stob. Flor. LVIII 9: *Πινδάρου Ὑπορχημάτων* (hoc solus A addit) *τὸ κοινὸν κτλ.* V. 1 et 2 Polyb. IV 31: *οὐδὲ γὰρ Θηβαίους ἐπαινοῦμεν κατὰ τὰ Μηδικά, διότι τῶν ὑπὲρ τῆς Ἑλλάδος ἀποστάντες κινδύνων τὰ Περσῶν εἵλοντο διὰ τὸν φόβον, οὐδὲ Πίνδαρον τὸν συναποφηνάμενον αὐτοῖς ἄγειν τὴν ἡσυχίαν διὰ τῶνδε τῶν ποιημάτων· τὸ κοινὸν . . . φάος.* Est haud dubie ex eodem carmine, ex quo fr. 87 petitum. — V. 1. *τιθείς*, Stob. *καταθείς*. — V. 2. Ap. Stob. *ἐρευνησάτω* omnes et *μεγάλ' ἂν ὅρος* A Vind. — *Ἀσυχίας* Boeckh, v. *ἡσυχίας*. — *τὸ φαιδρὸν*, Stob. *ἱερόν*. — V. 3. *πραπίδος*, B *πραπίδων*. — *ἐπίκοτον* Grotius, *ἐπικότον* A, *ἐπὶ κόπον* B, *ἐπικόπον* vulgo. — *ἀνελών*, ante Grotium *ἀνέμων*.

Fr. 87. Stob. Flor. L 3. *Πίνδαρος Ὑπορχημάτων· Γλυκὺ δὲ πόλεμος ἀπείροισιν· ἐμπείρων δέ τις ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς.* Schol. Il. λ 227: *ὡς καὶ Πίνδαρος· Γλυκὺς ἀπείρῳ πόλεμος, ἐμπείρων δέ τις ταρβεῖ προσιόντα μιν.* ubi L *νιν*, V *νιν περισσῶς*. Eustath. p. 841, 32: *γλυκὺς ἀπείρῳ πόλεμος, πεπειραμένων δέ τις ταρβεῖ προσιόντα.* Constituit Boeckh. Hinc proverbium ap. Galen. VIII 763 ed. Kühn. Diogenian. III 94 (ubi vid. interpr.), Arsen. 164. Sch. Thucyd. I 80.118 *γλυκὺς ἀπείρῳ πόλεμος.*

Fr. 88. Erotian. p. 74 ed. Franz: *Αἰών, ὁ νωτιαῖος μυελός . . . καὶ Πίνδαρος ἐν ὑπορχήματι* (D *ὑποχρίμασι*, om. cod. Vind.) *λέγων· Ἐνέπισε κτλ.* V. 1. *ἐνέπισε*, vett. edd. *ἐν ἐνέπισε*, Heringa *ἐξέπτυσε κεκραμέν'*

*τραχὺ ῥόπαλον, τέλος δ' ἀείραις πρὸς * * στιβαρὰς ἐσπάραξε πλευράς,*
αἰὼν δὲ δι' ὀστέων ἐρραίσθη.

89. [78.]

⏑ ⏑́ ⏑ – ⏒ ⏑ ⏑́ ⏑ ⏑ –

Λάκαινα μὲν παρθένων ἀγέλα.

90. [79.]

Schol. Theocr. VII 103: *Ὁμόλας δὲ Θετταλίας ὄρος, ὡς Ἔφορος καὶ Ἀριστόδημος ὁ Θηβαῖος, ἐν οἷς ἱστορεῖ περὶ τῆς ἑορτῆς τῶν Ὁμολωΐων, καὶ Πίνδαρος ἐν τοῖς Ὑπορχήμασιν.*

91. [80.]

Schol. Pind. Isth. I 21: *Ἰόλαος δὲ ἦν Ἡρακλέους ἡνίοχος, ἀλλ' εὑρήματα Πινδάρου ἐν Ὑπορχήμασιν, ὡς καὶ εὕρημα Κάστορος, ὡς αὐτὸς λέγει.* ubi Boeckh: *ἅρματα δὲ αὐτοῦ εὕρημα κατὰ τὰ Πινδάρου κτλ.*

92. [81.]

Schol. Pind. Ol. XIII 25: *Ὁ Πίνδαρος δὲ ἐν μὲν τοῖς Ὑπορχήμασιν ἐν Νάξῳ φησὶν εὑρηθῆναι πρῶτον διθύραμβον.*

* 93. 94. [82.]

⏑ ⏑́ ⏑́ ⏑ ⏑́ ⏑ ⏑ – ⏑ – ⏓

Ὁ Μοισαγέτας με καλεῖ χορεῦσαι.

* * *

Ἄγοις ὦ κλυτὰ θεράποντα Λατοῖ.

αἵματι. — *κεκραμέν'*, D *κεκραμμένα.* — *αἵματι*, cod. Vind. *αἵμασι.* — *ἕλκε'* Heringa, v. *ἕλκεα πλευράς* — *ἔμβαλε νωμῶν* Vulcanius, v. *ἔμβαλεν* (D *ἔμβαλλεν*) *ὦμον.* — V. 2. *ἀείραις* Boeckh, v. *ἀείρας.* — *πρὸς* ** *στιβαρὰς*, indicavi lacunam, coniicio *πρὸς οὔδει.* Antea deleveram *πρὸς* quod secutus est Hartung. — *ἐσπάραξε* codd., praeter Vindob., qui *ἀπάραξε*, Boeckh *σπάραξε.* De Hercule haud dubie dicta sunt.

Fr. 89. Athen. XIV 631 C: *ἡ δ' ὑπορχηματική ἐστιν, ἐν ᾗ ᾄδων ὁ χορὸς ὀρχεῖται·* — *καὶ Πίνδαρος δέ φησι· Λάκ. κτλ. ὀρχοῦνται δὲ ταύτην παρὰ τῷ Πινδάρῳ οἱ Λάκωνες.* Hecker coni. *παρθενιῶν*, quod debebat *παρθενιᾶν* dici.

Fr. 93 et 94. Hephaest. p. 78: *ἀπὸ δὲ ἀντισπαστικῆς τὸ καλούμενον Πινδαρικὸν ἑνδεκασύλλαβον, οἷον· Ὁ Μουσ. μ. κ. χορ. Ἄγοις κτλ.* Fr. 93 etiam Cram. An. Par. I 123, 19.

VIII.

ΕΓΚΩΜΙΑ.

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩι. 95. 96.

95. [83.]

´ ⏑ – – ´ ⏑ – – ´ . . . . . .

Βούλομαι παίδεσσιν Ἑλλάνων . . . . . .

* 96. [84.]

´ ⏑ ⏑ . . [⏑] ⏑ – – ´ . . . . . .
– ´ ⏑ – – ´ ⏑ – – ´ ⏑ ⏑ – ⏑ ⏑ – –
´ ⏑ – – ´ ⏑ ⏑ – ⏑ ⏑ – ⏑
´ ⏑ ⏑ – ⏑ ⏑ – – ´ ⏑ ⏑

Ἐν δὲ Ῥόδου . κατῴκισθεν . . . . . .
ἐνθένδ' ἀφορμαθέντες ὑψηλὰν πόλιν ἀμφινέμονται,
πλεῖστα μὲν δῶρ' ἀθανάτοις ἀνέχοντες,
ἕσπετο δ' ἀενάου πλούτου νέφος.

Fr. 95. Scholiast. Pind. Ol. II 16: *Τούτους γὰρ* (Theronis maiores) *Θηβαίους ἀνέκαθεν ἀπὸ Κάδμου εἶναι· Κάδμου γὰρ Πολύδωρος, τοῦ δὲ Λαβδακος, τοῦ δὲ Λάϊος, τοῦ δὲ Οἰδίπους, εἶτα Ἐτεοκλῆς, τοῦ δὲ Πολύδωρος, τοῦ δὲ Αἵμων· τοῦτον δὲ ἐν κυνηγεσίῳ ἐμφύλιόν τινα ἀποκτείναντα Ἀθήναζε μεταστῆναι· τοὺς δὲ ἀπὸ τούτου πάλιν ἐξ Ἀθηνῶν μεταστάντας σὺν τοῖς Ἀργείοις Ῥόδον κατοικῆσαι μέχρι τινῶν γενεῶν, καὶ μετὰ ταῦτα ἐλθεῖν εἰς Ἀκράγαντα, καὶ μέχρι Θήρωνος τὰς ἁπάσας γενεὰς ἑπτὰ πρὸς ταῖς ὀκτὼ συναριθμεῖσθαι· ταῦτα ἱστορεῖ ἐν Ἐγκωμίῳ, οὗ ἡ ἀρχή· Βούλομαι παίδευσιν Ἑλλ.* Eadem repetit ad v. 39. Boeckh correxit *παίδεσσιν*.

Fr. 96. Schol. Pind. Ol. II 16: *Ἔνιοι δέ φασιν, ὅτι οἱ τοῦ Θήρωνος πρόγονοι οὐδ' ὅλως εἰς τὴν Γέλλαν κατῆραν, ἀλλ' εὐθὺς ἀπὸ Ῥόδου εἰς τὴν Ἀκράγαντα, ὡς καὶ ὁ Πίνδαρος λέγει· ἐν δὲ κτλ.* Recte ad idem encomium referunt. — V. 1. *ἐν* GW4, vulgo *ἂν*. Deinde fortasse nihil excidit, et pro *κατῴκισθεν* scribendum *κατένασθεν*. — V. 2. *ἐνθένδ'*, G *ἔνθενδ'*, vulgo *ἔνθ'*. — V. 4. *ἕσπετο* GW4, v. *ἕπετο*.

ΑΛΕΞΑΝΔΡΩι ΑΜΥΝΤΑ 97. 98.

97. [85.]

–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – –

Ὀλβίων ὁμώνυμε Δαρδανιδᾶν,
παῖ θρασύμηδες Ἀμύντα.

* 98. [86.]

. . . . . ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – –

. . . . . *Πρέπει δ' ἐσλοῖσιν ὑμνεῖσθαι πολυκλείταις ἀοιδαῖς·*
τοῦτο γὰρ ἀθανάτοις τιμαῖς ποτιψαύει μόνον [ῥηθέν]·
θνάσκει δὲ σιγαθὲν καλὸν ἔργον.

Fr. 97. Schol. Pind. Nem. VII 1: *Τότε γὰρ καταφέρεται ὁ Πίνδαρος εἰς τοῦτο, ὅταν ὑπῇ τις ὁμωνυμία, οἷον· Ὀλβίων κτλ.* — V. 1. etiam Dio Chrysost. Or. II T. I 28 ed. Emper. *τοῦ δὲ Πινδάρου διά τε τὴν λαμπρότητα τῆς φύσεως, καὶ ὅτι τὸν πρόγονον αὐτοῦ καὶ ὁμώνυμον ἐπῄνεσεν Ἀλέξανδρον, τὸν Φιλέλληνα ἐπικληθέντα, ποιήσας εἰς αὐτόν· Ὀλβίων ἐπώνυμε Δαρδανιδᾶν* (M *ἐπώνυμα Δαρδανιδῶν*) cf. Tzetz. Chil. VII 413. — V. 2. *παῖ*, Boeckh coni. *ὦ παῖ*, ut unus sit versus. Recte ad Encomia retulit hoc carmen Boeckh, estque ipsum initium servatum.

Fr. 98. Dion. Halic. de vi dic. Demosth. c. 26: *Πρέπει δ' . . . ἔργον: Πίνδαρος τοῦτο πεποίηκεν εἰς Ἀλέξανδρον τὸν Μακεδόνα, περὶ τὰ μέλη καὶ τοὺς ῥυθμοὺς μᾶλλον ἢ περὶ τὴν λέξιν ἐσπουδακώς.* — V. 1. *ἐσλοῖσιν* Sylburg, v. *ὅλοισιν.* — *πολυκλείταις* scripsi, libri *καλλίσταις.* cf. Pyth. III 114 *κλειναῖς ἀοιδαῖς.* Hartung *ὑμνεῖσθαί γε*, Schneidewin *πολὺ καλλίσταις* coni. — V. 2. *τιμαῖς* Boeckh, vulgo *τιμαῖσι.* — *ποτιψαύει*, cod. Paris. *ψαύει.* — *ῥηθέν* delendum esse viderunt Bothe et Boeckh. — V. 3. *δὲ σιγαθὲν* Barnes, *δ' ἐπιλασθὲν* Sylburg, vulgo *δ' ἐπιταθέν.*

IX.

ΣΚΟΛΙΑ.*

ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩι.

99. [87.]

⏒ –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏒
– –́ ⏑ ⏖ – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ – –
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏑ –́ ⏑ – – –́ ⏑ – –

Στρ. α'.

Πολύξεναι νεάνιδες, ἀμφίπολοι
Πειθοῦς ἐν ἀφνειῷ Κορίνθῳ,
αἵτε τᾶς χλωρᾶς λιβάνου ξανθὰ δάκρη
θυμιᾶτε, πολλάκι ματέρ' ἐρώτων οὐρανίαν πτάμεναι

Fr. 99. Athen. XIII 573 E: *Ὑπάρχοντος οὖν τοῦ τοιούτου νομίμου περὶ τὴν θεὸν Ξενοφῶν ὁ Κορίνθιος ἐξιὼν εἰς Ὀλυμπίαν ἐπὶ τὸν ἀγῶνα καὶ αὐτὸς ἀπάξειν ἑταίρας ηὔξατο τῇ θεῷ νικήσας· Πίνδαρός τε τὸ μὲν πρῶτον ἔγραψεν εἰς αὐτὸν ἐγκώμιον* (Ol. XIII) ... *ὕστερον δὲ καὶ σκόλιον τὸ παρὰ τὴν θυσίαν ᾀσθέν, ἐν ᾧ τὴν ἀρχὴν εὐθέως πεποίηται πρὸς τὰς ἑταίρας, αἳ παραγενομένου τοῦ Ξενοφῶντος καὶ θύοντος τῇ Ἀφροδίτῃ συνέθυσαν· διόπερ ἔφη· Ὦ Κύπρου ... ἰανθείς.* (v. 14—16) *Ἤρξατο δὲ οὕτως τοῦ μέλους· Πολύξεναι ... καλόν* (v. 1—9). *Ἀρξάμενός θ' οὕτως ἑξῆς φησιν· Ἀλλά ... γυναιξίν* (v. 10—12). *Δῆλον γὰρ ὅτι πρὸς τὰς ἑταίρας διαλεγόμενος ἠγωνία ποῖόν τι φανήσεται τοῖς Κορινθίοις τὸ πρᾶγμα· πιστεύων δέ, ὡς ἔοικεν, αὐτὸς ἑαυτῷ πεποίηκεν εὐθέως. Διδαξ. ... βασάνῳ* (v. 13). Discessi in hoc scolio constituendo a Boeckhio, qui strophis atque epodis constare censuit, at potius minutae strophae eaedem semper iterantur: supersunt autem quatuor stropharum reliquiae. — V. 1. *Πολύξεναι* Boeckh, v. *πολύξειναι.* — V. 2. *Πειθοῦς* Schneider, *πείθουσ'* PVL. — *ἀφνειῷ* recte codd., Hermann et Boeckh *ἀφνειᾷ.* — V. 3. *αἵ τε τᾶς χλωρᾶς λιβάνου ξανθὰ δάκρυα θυμιᾶτε* Tittmann correxit, vulgo *διά τε τὰς χεῖρας λιβάνου ξανθὰ δάκρυά τε ἡμῖν*, at Zonaras 1307: *Πίνδαρος· αἵτε τὰν χλωρὰν λίβανον ξανθὰ δάκρυα θυμιᾶται* (cf. etiam Phot. 222, 21). Ego praeterea *δάκρη* scripsi probante Schneidewino, vulgo *δάκρυα*, vid. Cram. An. Ox. I 121, 1: *Τοῦ δάκρυ ἡ γενικὴ δάκρεος, δάκρεϊ, τὸ πληθυντικὸν δάκρεα, τοῦτο κατὰ συναλοιφὴν γέγονε δάκρη, Ξανθὰ δάκρη* (quod ibid. legitur *ἐν ἠρινοῖς πέταλσι*, tragici potius quam lyrici videtur). — V. 4. *πολλάκι ματέρ' ἐρώτων* Boeckh, vulgo *πολλάκις ματέρας ἐρώτων.* — *πτάμεναι* Hermann, *ἱπτάμεναι* PVL, conieci *οὐράνι' ἀμπτάμεναι.*

*) De Pindari Scholiis vide quae supra p. 283 seq. disputavimus.

νόημα ποττὰν Ἀφροδίταν,

Στρ. β'.

ὑμῖν ἄνευθ' ἀπαγορίας ἔπορεν,
ὦ παῖδες, ἐρατειναῖς ἐν εὐναῖς
μαλθακᾶς ὥρας ἀπὸ καρπὸν δρέπεσθαι.
σὺν δ' ἀνάγκᾳ πᾶν καλόν . . . . . .
. . . .

Στρ. γ'.

. . . .
. . . .
ἀλλὰ θαυμάζω, τί με λεξοῦντι Ἰσθμοῦ
δεσπόται τοιάνδε μελίφρονος ἀρχὰν εὑρόμενον σκολίου
ξυνάορον ξυναῖς γυναιξίν.

Στρ. δ'.

διδάξαμεν χρυσὸν καθαρᾷ βασάνῳ.
. . . .
ὦ Κύπρου δέσποινα, τεὸν δεῦτ' ἐς ἄλσος
φορβάδων κορᾶν ἀγέλαν ἑκατόγγυιον Ξενοφῶν τελέαις
ἐπάγαγ' εὐχωλαῖς ἰανθείς.

V. 5. νόημα Hermann, v. νοήματι. — ποττὰν, B ποτὶ τάν. — V. 6. ὑμῖν codd., Boeckh ὔμμιν. — ἄνευθ' ἀπαγορίας scripsi, v. ἄνωθεν ἀπαγορίας. Boeckh ἅτ' ἄνωθεν ἀπαγορίας. Sed haud scio an potius corrigendum sit ἄνευθ' ἐπαγορίας, cf. Hesych. ἐπαγορίαν ἔχει, ἐπίμωμός ἐστιν. — V. 7. ἐν εὐναῖς Boeckh, vulgo εὐναῖς. — V. 8. μαλθακᾶς ὥρας Boeckh, μαλθακὸν ὥρας Schneider, μαλθακώρας libri. — V. 9. ἀνάγκᾳ Casaubonus, ἀνάγκαι PVL. — πᾶν καλόν Boeckh, v. πάγκαλον. — V. 10. λεξοῦντι A, λέξαντι PVL, Casaub. λέξοντι, quod recepit Boeckh. — Ἰσθμοῦ Casaubonus, vulgo ὁμοῦ. — V. 11. τοιάνδε Schweighaeuser, v. τοιόνδε. — εὑρόμενον, Schweighaeuser εὑράμενον. — σκολίου Boeckh, v. σκολιοῦ. — V. 13. διδάξαμεν Hermann, vulgo ἐδιδάξαμεν, Hecker ἐδείξαμεν. — καθαρᾷ Casaubonus, κιθάρῃ B, κιθάρᾳ PVL, Meineke καθαρόν. — βασάνῳ fort. resp. Zonar. 374. — Hartung versum qui desideratur, supplet κίβδαλον ἐν πείραις ἐλέγχειν. — V. 14. δεῦτ', L. Dindorf δηῦτ'. — V. 15. κορᾶν VL, κόραν AP, κουρᾶν Boeckh. — ἑκατόγγυιον, vulgo ἑκατόνγυιον. — τελέαις Boeckh, v. τελείαις. — V. 16. ἐπάγαγ' Boeckh, v. ἐπήγαγ'.

ΘΕΟΞΕΝΩι ΤΕΝΕΔΙΩι.

* 100. [88.]

Strophae.

– –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – –́ ⏑ – ⏓ –́ ⏑ – – –́ ⏑ –

Epodus.

– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – –

Στρ.

Χρῆν μὲν κατὰ καιρὸν ἐρώτων δρέπεσθαι, θυμέ, σὺν ἀλικίᾳ·
τὰς δὲ Θεοξένου ἀκτῖνας προσώπου μαρμαριζοίσας δρακείς
ὃς μὴ πόθῳ κυμαίνεται, ἐξ ἀδάμαντος
ἢ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν

Ἀντ.

ψυχρᾷ φλογί, πρὸς δ' Ἀφροδίτας ἀτιμασθεὶς ἑλικοβλεφάρου
ἢ περὶ χρήμασι μοχθίζει βιαίως, ἢ γυναικείῳ θράσει
ψυχρὰν φορεῖται πᾶσαν ὁδὸν θεραπεύων.
ἀλλ' ἐγὼ τᾶσδ' ἕκατι κηρὸς ὣς δαχθεὶς ἕλᾳ

Fr. 100. Athen. XIII 601 C: *Καὶ Πίνδαρος δ' οὐ μετρίως ὢν ἐρωτικός φησιν· εἴη . . . πρᾶξιν* (fr. 104) . . . *μνησθεὶς δὲ καὶ τοῦ Τενεδίου Θεοξένου ὁ Πίνδαρος, ὃς ἦν αὐτοῦ ἐρώμενος, τί φησί; Χρῆν μὲν . . . Ἀγησιλάου.* — V. 1. *μὲν* Heyne, v. *με.* Hartung novavit *χρὴ μὲν κατὰ καρπόν.* — *ἀλικίᾳ* Boeckh, libri *ἡλικίᾳ.* — V. 2. 3. 4. affert Athen. etiam XIII 564 E. — *προσώπου,* altero loco *ὄσσων,* hinc Hermann *ἀκτῖνάς τις ὄσσων,* nuper vero *ἀκτῖνας ὄσσων* probavit, et in Antistr. v. 6. *μοχθεῖ* coni. — *μαρμαριζοίσας,* altero loco *μαρμαριζούσας* (A *μαρμαρυζούσας*). — *δρακεὶς* altero l., priore l. PV *δράκης,* B *δράκις,* C *δρακών.* — V. 4. *ἢ* altero loco, priore *ἠὲ.* — *καρδίαν,* altero l. *ψυχάν.* Hartung *μέλ. κ. ἰαίνων ψ. φλογί.* — Respicit Onesander Strateg. XLII 124. Plut. de sera num. vind. c. 13: *εἰ μὴ μέλαιναν καρδίαν κεχάλκευται ψυχρᾷ φλογὶ κατ' αὐτὸν τὸν Πίνδαρον.* et de inimic. util. c. 9: *κεῖνος ἐξ ἀδαμ. ἢ σιδάρου κεχ. μ. κ.* cf. etiam adv. Stoic. c. 1. Philostr. Ep. 14. — V. 5. *Ἀφροδίτας,* B *Ἀφροδίτης.* — *ἀτιμασθεὶς* AB, *ἀτιμαθεὶς* PVL. — V. 7. *ψυχρὰν,* Schneider *ψυχὰν,* ego *ψηχρὰν* conieci, Ahrens *αἰσχρὰν.* — V. 8. *ἀλλ' ἐγὼ τᾶσδ' ἕκατι* Hermann, ego in proecd. *ἀλλ' ἐγὼ ἕκατι τᾶς (θεοῦ)* scripsi, legebatur *ἀλλ' ἐγὼ δ' ἕκατι* (B *δὲ κατι*) *τᾶς*

'Επ.

ἱρᾶν μελισσᾶν τάκομαι, εὖτ' ἂν ἴδω παίδων νεόγυιον ἐς ἥβαν·
ἐν δ' ἄρα καὶ Τενέδῳ Πειθώ τ' ἔναιεν
καὶ Χάρις υἱὸν Ἀγησιλάου.

ΘΡΑΣΥΒΟΥΛΩι ΑΚΡΑΓΑΝΤΙΝΩι

101. [89. 94.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓ –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏓
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – ⏓ –́ – ⏑ –

Ὦ Θρασύβουλ', ἐρατᾶν ὄχημ' ἀοιδᾶν
τοῦτό τοι πέμπω μεταδόρπιον· ἐν ξυνῷ κεν εἴη συμπόται-σίν τε γλυκερόν
καὶ Διωνύσοιο καρπῷ καὶ κυλίκεσσιν Ἀθαναίαισι κέν-τρον·

(B τὰς). Boeckh, qui ἠὲ in stropha servavit, edidit ἀλλ' ἐγὼ ὥρας ἕκατι τᾶς ποθεινᾶς, probante Schneidewino, qui nuper ἀλλ' ἐγὼ θεᾶς ἕκατι edidit. — ἕλᾳ ἱρᾶν μελισσᾶν scripsi, codd. ἐλεηρὰν (LV ἐλεκρὰν) μέλισσαν. Boeckh et Hermann inchoantes hinc epod., ἐλαιηρᾶν vel ἐλειηρᾶν μελισσᾶν. Ahrens ἀλλ' ἐγὼ ἀέκατί γ' αἴσας κηρὸς ὣς δαχθεὶς ἕλᾳ μελισσᾶν, Hartung ἀλλ' ἐγὼ θεᾶς ἕκατι, κηρὸς ὥτε λειρίων μελισσᾶν | παίδων νεόγυιον ἐς ἥβαν δαϊχθεὶς τάκομαι εὖτ' ἂν ἴδω. ἐν δ' ἄρα κτλ., inchoat enim Hartung a verbis παίδων κτλ. stropham tertiam, existimans carmen esse monostrophon. — V. 9. τάκομαι Boeckh, v. τήκομαι. — ἥβαν Boeckh, v. ἥβην. — V. 10. Πειθώ τ' ἔναιεν, B καὶ τὸν ε δω πείθω τε ναιεν, Schneider τε ναίει, ego τ' ἐναύει vel τ' ἐνδαίει conieci, Hermann ἀνᾶγεν, Ahrens ἐν δ' ἄρα καὶ Τενέδῳ Πειθὼ τὸν ἄγεν καὶ Χάρις υἱὸν Ἀγησιλάου, oratione tam contorta, ut nihil sit supra, Hartung verba υἱὸν Ἀγησιλάου exulare iussit, Goram Πειθώ τ' ἴαινε. — V. 11. Ἀγησιλάου, Boeckh Ἀγησίλα, ut sit initium novae strophae.

Fr. 101. Coniunxi duo, quae separata erant, fragmenta in unum: non solum sententiae bene inter se conspirant, sed etiam numeri: integram iam habemus stropham, quae eurythmiae legibus plane conveniat. Et prius quidem fragmentum (v. 1—3.) legitur Athen. XI 480 C: Καὶ τῶν μὲν Ἀττικῶν (κυλίκων) μνημονεύει Πίνδαρος ἐν τοῖσδε· Ὦ Θρασύβ. κτλ. alterum autem (v. 4. 5) ib. XIV 641 B: Ἀριστοτέλης δ' ἐν τῷ περὶ μέθης τὰ τραγήματά φησι λέγεσθαι ὑπὸ τῶν ἀρχαίων τρωγάλια, ὡσεὶ γὰρ ἐπιδορπισμὸν εἶναι. Πίνδαρος δ' ἐστὶν ὁ εἰπών· Δείπνου κτλ. — V. 2. τοῦτό τοι Boeckh, v. τοῦτο. — συμπόταισιν Boeckh, libri συμπόταισι. — τε, Blass τοι. — V. 3. καί, Blass παρ Διων. — Διωνύσοιο Boeckh, libri Διονύσοιο. — Ἀθαναίαισι Schneider, A Ἀθηναίεσσι, PVL Ἀθηναιεῦσι. Cf. Suidas v. Ἀθηναίας, ubi Πίνδαρος ἐν σχολῇ (σκολίοις).

δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον
καίπερ πέδ' ἄφθονον βοράν.

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩι. 102. 103.

102. [91.]

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –

Τόν ῥα Τέρπανδρός ποθ' ὁ Λέσβιος εὗρεν
πρῶτος ἐν δείπνοισι Λυδῶν
ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πηκτίδος.

V. 4. *λήγοντος* AC Eustath. 1401, 49, *λέγοντος* PVL. — *γλυκὺ* L Eust., *γλυκύην* PV. — Affert h. v. etiam Clemens Str. I 377: *Δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον* (cod. H *γλυκέα τρωγάλια*) *κατὰ τὸν Θηβαῖον Πίνδαρον.* — V. 5. *καίπερ* Boeckh, libri *καὶ περί.* — *πέδ'* Schneider, codd. *παῖδ'.* — Sagaciter excogitata sunt, quae F. Blass (Mus. Rhen. XIX 306) proposuit; is, cum animadvertisset numerorum magnam similitudinem intercedere inter hoc scolium et fr. inc. 203, existimavit haec omnia sic esse copulanda:

Στρ. α'.

Ὦ Θρασύβουλ', ἐρατᾶν ὄχημ' ἀοιδᾶν
τοῦτό τοι πέμπω μεταδόρπιον· ἐν ξυνῷ κεν εἴη
συμπόταισίν τοι γλυκερὸν παρ Διωνύσοιο καρπῷ

Στρ. β'.

καὶ κυλίκεσσιν Ἀθαναίαισι κέντρον·
ἀνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι
στηθέων ἔξω· πελάγει δ' ἐν πολυχρύσοιο πλούτου

Στρ. γ'.

πάντες ὁμοῦ νέομεν ψευδῆ πρὸς ἀκτάν·
ὃς μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ' αὖ πλουτέοντες
. . . .

Στρ. δ'.

. . . .
ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες.

verum strophae adeo minutae ab hoc genere numerorum abhorrent, nec satis commode fr. 203 continuo subiunxeris principio huius carminis.

Fr. 102. Athen. XIV 635 D: *ἀγνοεῖ δὲ ὁ Ποσειδώνιος ὅτι ἀρχαῖόν ἐστιν ὄργανον ἡ μάγαδις, σαφῶς Πινδάρου λέγοντος τὸν Τέρπανδρον ἀντίφθογγον εὑρεῖν τῇ παρὰ Λυδοῖς πηκτίδι τὸν βάρβιτον· Τόν ῥα κτλ.* Respicit ibid. B: *Διόπερ καὶ Πίνδαρον εἰρηκέναι ἐν τῷ πρὸς Ἱέρωνα σκολίῳ τὴν μάγαδιν ὀνομάσαντα ψαλμὸν ἀντίφθογγον.* Haud dubie hunc ipsum locum respicit Plutarch. de mus. c. 28: *Ἔτι δὲ καθάπερ Πίνδαρός φησι, καὶ τῶν σκολιῶν μελῶν Τέρπανδρος εὑρετὴς ἦν.* — V. 2. *Λυδῶν* Hermann, libri *λύδιον.* — V. 3. *ἀντίφθογγον* AB, *ἀντίφθογγος* PVL.

* 103. [92.]

–́ ⏑ – – –́ ⏑ – ⏑ –́ ⏑ ⏑ –
– –́ ⏑ – ⏑ –́ ⏑ – –

Μηδ' ἀμαύρου τέρψιν ἐν βίῳ· πολύ τοι
φέρτιστον ἀνδρὶ τερπνὸς αἰών.

---

* 104. [236.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑
– –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – ⏒ –́ ⏑ . . . .

Εἴη καὶ ἐρᾶν καὶ ἔρωτι χαρίζεσθαι κατὰ καιρόν·
μὴ πρεσβυτέραν ἀριθμοῦ δίωκε, θυμέ, πρᾶξιν.

105. [90.]

⏑ ⏑ –́ –́ ⏑ – ⏑ –́ ⏑ – –́

⏓ ⏑ –́ ⏑ ⏑ – ⏑́ ⏑ – ⏑ ⏑ – ⏑́⏑ ⏑ –

–́ ⏑ ⏑ . . . . . .

Χάριτάς τ' Ἀφροδισίων ἐρώτων,
ὄφρα σὺν Χιμάρῳ μεθύων Ἀγάθωνί τε καλῷ
κότταβον.

Fr. 103. Athen. XII 512 D: *Πίνδαρος παραινῶν Ἱέρωνι τῷ Συρακουσίων ἄρχοντί φησι· Μηδ' ἀμαύρου, φησί, κτλ.* — V. 1. *μηδὲ μαύρου* Boeckh. — *τοι, τι* C. — V. 2. *φέρτιστον* Boeckh, v. *φέριστον*. Ad scolium in Hieronem retulit Boeckh.

Fr. 104. Athen. XIII 601 C: *Καὶ Πίνδαρος δ' οὐ μετρίως ὢν ἐρωτικός φησιν· εἴη κτλ.* et v. 1 etiam XIII 561 B *καὶ κατὰ Πίνδαρον δὲ ἄλλος τις ἔφη, εἴη κτλ.* — V. 1. *κατὰ*, priore loco PVL *καὶ κατὰ*. Ad Scolia haud dubie pertinet fragmentum, et antea conieci petitum esse ex Scolio in Theoxenum, ut hoc fuerit illius Scolii exordium:

Εἴη καὶ ἐρᾶν καὶ ἔρωσιν χαρίζεσθαι κατὰ καιρόν· ὃ μὴ
πρεσβυτέραν ἀριθμοῦ δίωκε, θυμέ, πρᾶξιν.

et assensus est Hartung, sed scripsit *ἐρῶσιν χαρίζεσθαι κατὰ καίρια· μὴ π. ἀρ. πρᾶξιν δίωκε, θυμέ.* Illud certum est Pindarum in scolio ad Theoxenum haec ipsa verba respicere: nam cum hic tempestivos commendet amores, in illo scolio eam sententiam retractat.

Fr. 105. Athen. X 427 D: *Διὸ καὶ τὰ σκολιὰ καλούμενα μέλη τῶν ἀρχαίων ποιητῶν πλήρη ἐστί· λέγω δ' οἷον καὶ Πίνδαρος πεποίηκε· Χάριτάς τε κτλ.* — V. 2. *σὺν Χιμάρῳ μ. Ἀγάθωνί τε καλῷ* scripsi, v. *σὺν χειμάρῳ* (P *σύγχει μάρῳ*) *μ. Ἀγάθωνι δὲ καλῶ*. censor Athen. Ienensis *σὺν χειμάρρῳ μεθύω* coni. idemque *καλῷ* pro *καλῶ*. Verbum deest, velut *κότταβον ἀγκυλῶμαι*. Nomen quod restitui, extat non solum in titulo Latino C. IVLIVS CHIMARVS (Archaeol. Zeit. 1845 p. 32) sed etiam ap. Polyb. XXIX 1, ubi item perperam *Χείμαρος* scribi solet. Hartung *ὄφρα σὺν Χειμερίῳ μὲν μεθύω, Ἀγάθωνι δὲ καλῷ κότταβον...* at nomen proprium *Χειμέριος*, quod meae coniecturae praetulit, nusquam legitur.

X.

ΘΡΗΝΟΙ.

* 106. 107. [95.]

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏓ –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏓ –́ ⏑ – ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏒
– –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –

Τοῖσι λάμπει μὲν μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω,
φοινικορόδοις δ' ἐνὶ λειμώνεσσι προάστιον αὐτῶν
καὶ λιβάνῳ σκιαρὸν καὶ χρυσέοις καρποῖς βεβριθός.
καὶ τοὶ μὲν ἵπποις γυμνασίοις τε, τοὶ δὲ πεσσοῖς,

Fr. 106. 107. Plut. Cons. ad Apoll. c. 35: *Λέγεται δὲ ὑπὸ μὲν τοῦ μελικοῦ Πινδάρου ταυτὶ περὶ τῶν εὐσεβέων ἐν ᾅδου· Τοῖσι λάμπει . . . βωμοῖς* (fr. 106), et de occulto viv. c. 7: *Εὐσεβῶν χῶρον, τοῖσι λάμπει μένος ἀελίου τὰν ἐνθάδε νύκτα κάτω φοινικορόδοις ἐν λειμώνεσσι καὶ τοῖσιν ἀκάρπων μὲν ἀνθηρῶν καὶ σκυθίων δένδρων ἄνθεσι τεθηλὸς ἀναπέπταται πεδίον, καὶ ποταμοί τινες ἄκλυστοι καὶ λεῖοι διαρρέουσι, καὶ διατριβὰς ἔχουσιν ἐν μνήμαις καὶ λόγοις τῶν γεγονότων καὶ ὄντων, παραπέμποντες αὐτοὺς καὶ συνόντες· ἡ δὲ τρίτη τῶν ἀνοσίως βεβιωκότων καὶ παρανόμων ὁδός ἐστιν εἰς ἔρεβός τε καὶ βάραθρον ὠθοῦσα τὰς ψυχάς, ἔνθεν τὸν ἄπειρον κτλ.* (fr. 107). Resp. Arist. T. I 146. — V. 2. *φοινικορόδοις δ' ἐνὶ λειμώνεσσι* scripsi, Boeckh *φοιν. τ' ἐνὶ λ.*, Plutarch. posteriore l. *φοινικορόδοις ἐν λειμώνεσσι*, priore *φοινικορόδιαί τε λειμῶνες εἰσί.* Cf. Cramer An. Ox. III 173, 16: *ἢ καὶ αὐτῶν τῶν παρὰ ποιηταῖς Διὸς κήπων, οὓς φησιν φοινικορόδους ὁ Πίνδαρος.* — *προάστιον* Hermann, v. *προάστειον.* — V. 3. *σκιαρὸν* B, *σκιερὸν* Xylander, *σκιερὰν* vulgo, *σκιαρᾷ* Hermann. — *χρυσέοις καρποῖς* Boeckh, vulgo *χρυσοκάρποισι.* — *βεβριθός* Reiske, vulgo *βέβριθε* probante Boeckhio. Fortasse locus non integer servatus, ut poeta scripserit *καὶ χρυσοκάρποισι σταχύεσσι βεβριθὸς πέπταται,* in Plutarchi enim altero loco videtur scrib. *εὐκάρπων μὲν ἀθήρων καὶ εὐσκίων δένδρων ἄνθεσι τεθηλὸς ἀναπέπταται πεδίον.* Deinde sequi poterat descriptio lenium fluentorum, tum denique v. 4 et rel. Ex hoc Plutarchi loco Hartung Pindari versus, qui interciderunt, restituere conatus est, quos hic subiicere non necesse est. — V. 4. *γυμνασίοις τε*

τοὶ δὲ φορμίγγεσσι τέρπονται, παρὰ δέ σφισιν εὐανθὴς
ἅπας τέθαλεν ὄλβος·
ὀδμὰ δ' ἐρατὸν κατὰ χῶρον κίδναται
αἰεὶ θύα μιγνύντων πυρὶ τηλεφανεῖ παντοῖα θεῶν ἐπὶ
βωμοῖς.

*   *
*

ἔνθεν τὸν ἄπειρον ἐρεύγονται σκότον
βληχροὶ δνοφερᾶς νυκτὸς ποταμοί . . . . .

108. [96.]

–́ ⏑ – ⏒ –́ ⏑ – – –́ ⏑ ⏑ –́ ⏑ – –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ –
– –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
– –́ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

Ὀλβίᾳ δ' ἅπαντες αἴσᾳ λυσίπονον τελευτάν.
καὶ σῶμα μὲν πάντων ἕπεται θανάτῳ περισθενεῖ,
ζωὸν δ' ἔτι λείπεται αἰῶνος εἴδωλον· τὸ γάρ ἐστι μόνον
ἐκ θεῶν· εὕδει δὲ πρασσόντων μελέων, ἀτὰρ εὑδόντεσσιν
ἐν πολλοῖς ὀνείροις
δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν.

Hermann, v. γυμνασίοις, Xylander ἱππείοις γυμνασίοις. Malim καὶ τοὶ μὲν ἵπποισι σταδίοισί τε γυμνοῖς, Hartung γυμνασίοισί τ' ἀέθλοις. — V. 5. τέρπονται libri, v. τέρψονται. — τέθαλεν Boeckh, v. τέθηλεν. — V. 6. ἐρατὸν Xylander, v. ἐρατῶν. — V. 7. αἰεὶ Boeckh, v. ἀεί. — θύα Hermann, v. θύματα. — Fr. 107 quod ad finem strophae eiusdem threni pertinet, Plut. iterum affert de poet. c. 2. Hartung his alia praemisit, quae ex Plutarcho redintegrari posse existimavit.

Fr. 108. Plut. Cons. ad Apoll. c. 35: Καὶ μικρὸν προελθὼν ἐν ἄλλῳ θρήνῳ περὶ ψυχῆς λέγων φησίν· Ὀλβίᾳ κτλ. — V. 1. Ὀλβίᾳ . . . αἴσᾳ, v. Ὀλβία . . . αἶσα. — τελευτάν, Dübner τελετάν. Boeckh λυσίπονον μετανίσσονται τελευτάν, sed vitium potissimum latet in ἅπαντες, possis ὀλβίᾳ λαχόντες αἴσᾳ λυσιπόνων τελετᾶν conicere. — V. 2. 3. et init. 4 repetit Plut. vit. Rom. c. 28: Ἐατέον οὖν ἐχομένοις τῆς ἀσφαλείας κατὰ Πίνδαρον, ὡς σῶμα . . . θεῶν. — V. 3. ζωὸν δ' ἔτι altero loco, priore ζῶν δέ. — τὸ γάρ ἐστι μόνον altero loco, priore τὸ γὰρ μόνον ἐστίν. — V. 4. δὲ πρασσόντων, amicus Schneidewini δ' ἐγρασσόντων. — V. 5. ἐφέρποισαν Boeckh, ἐφέρπουσαν vulgo.

* 109. [97.]

– –́ ⏑ ⏕ ⏒ ⏑ ⏑ ⏑ –
– –́ – ⏑́ ⏑ ⏑ – ⏑ ⏑́⏑ ⏑ –
⏑ –́ – –́ ⏑ – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ – –
– –́ ⏑ ⏕ ⏑́⏑ ⏑ – –́ ⏑ – –

Ψυχαὶ δ' ἀσεβέων ὑπουράνιοι
γαίᾳ πωτῶνται ἐν ἄλγεσι φονίοις
ὑπὸ ζεύγλαις ἀφύκτοις κακῶν·
εὐσεβέων δ' ἐπουράνιοι ναίοισαι
μολπαῖς μάκαρα μέγαν ἀείδοντ' ἐν ὕμνοις

* 110. [98.]

⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏑́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏕ –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ ⏓
– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – –

Οἷσι δὲ Φερσεφόνα ποινὰν παλαιοῦ πένθεος
δέξεται, ἐς τὸν ὕπερθεν ἅλιον κείνων ἐνάτῳ ἔτεϊ

Fr. 109. Clem. Alex. Str. IV 640: *Ἄγαμαι τὸν μελοποιὸν ᾄδοντα· ψυχαὶ κτλ.* Pindari esse docet Theodoret. Gr. Aff. Cur. VIII 117, 2: *Εἰ δὲ ἀναισθήτως αὐτοὺς ἔχειν τῶν γιγνομένων νομίζετε καὶ μὴ θείας τινὸς καὶ τρισολβίας ὄντως λήξεως ἀπολαῦσαι, Πίνδαρος ὁ λυρικὸς ταύτην ὑμῶν ἐκβαλλέτω τὴν δόξαν λέγων ὡδί· Ψυχαὶ δ' εὐσεβίων* (sic CVb) *ἐν οὐρανοῖς ναίουσαι* (*νέουσαι* VaB, *ἐοῦσαι* CVb) *μολπαῖς μάκαρα μέγαν ἀείδουσιν ἐν* (*ἀείδουσ' ἐν* B, *ἀείδουσιν* Vb) *ὕμνοις.* Abiudicant hos versus Pindaro Dissen, Rauchenstein, qui eiusmodi opiniones a Pindari saeculo alienas esse censent (cf. de his Mullach ad Hierocl. p. 182) et Zeller Hist. Phil. II 17, qui ab homine Indaco haec profecta esse existimat; tuetur Welcker Mythol. I 742. — V. 1. *ἀσεβέων*, v. *ἀσεβῶν*. — *ὑπουράνιοι*, ll *ὑπ' οὖν τοι*. — V. 4. *εὐσεβέων δ'*, Clem. *εὐσεβῶν δὲ*. — *ναίοισαι*, Theod. *ναίουσαι*, Cl. *νάουσαι*, hinc Boeckh *νάοισαι*, sed haec forma nimis incerta, nescio an poeta scripserit *ἐν οὐρανῷ νέμοισαι*, quod etiam variae lectiones apud Theod. commendant. — V. 5. *μολπαῖς* delet Kayser, idem *μέγα μάκαρας* coniecit. — *ἀείδοντ'* Boeckh, Cl. *ἀείδουσ'*.

Fr. 110. Plato Menone p. 81 B: *λέγει δὲ καὶ Πίνδαρος καὶ ἄλλοι πολλοὶ τῶν ποιητῶν ὅσοι θεῖοί εἰσιν· ἃ δὲ λέγουσι, ταυτί ἐστιν· φασὶ γὰρ τὴν ψυχὴν τοῦ ἀνθρώπου εἶναι ἀθάνατον, καὶ ποτὲ μὲν τελευτᾶν, ὃ δὴ ἀποθνήσκειν καλοῦσι, τοτὲ δὲ πάλιν γίγνεσθαι, ἀπόλλυσθαι δ' οὐδέποτε. δεῖν δὴ διὰ ταῦτα ὡς ὁσιώτατα διαβιῶναι τὸν βίον· οἷσι κτλ.* unde Stob. Flor. XLIII 112. — V. 1. *οἷσι δὲ* Boeckh, Plato *οἷσι γὰρ ἄν*. — V. 2. *δέξεται*, *δέξηται* ΞΣ Stob. — *ἐς τὸν* Boeckh, vulgo *εἰς τὸν* (*τὸ* F, idem *ἀλίον*.) — *κείνων*, *ἐκείνων* Γ, *κεῖνον* r. — *ἔτεϊ* Boeckh, vulgo *ἔτει*, 𝔄Y *ἔτι*.

ἀνδίδοι ψυχὰς πάλιν,
ἐκ τᾶν βασιλῆες ἀγαυοὶ καὶ σθένει κραιπνοὶ σοφίᾳ τε
μέγιστοι
ἄνδρες αὔξοντ'· ἐς δὲ τὸν λοιπὸν χρόνον ἥρωες ἁγνοὶ πρὸς
ἀνθρώπων καλεῦνται.

111. [99.]

. . . . . . ⏒ – ∸ ⏑ –
∸ ⏑ – ∸ ⏑ – –

. . . . *Εὐδαιμόνων*
δραπέτας οὐκ ἔστιν ὄλβος.

112. [100.]

∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – – ∸ ⏑ – –

Πέφνε δὲ τρεῖς καὶ δέκ' ἄνδρας· τετράτῳ δ' αὐτὸς πεδάθη.

* 113. [101.]

Aristid. T. I 130: *Ἐπέρχεταί μοι τὸ τοῦ Πινδάρου προσθεῖναι* "*Ἄστρα τε καὶ ποταμοὶ καὶ κύματα πόντου τὴν ἀωρίαν τὴν σὴν ἀνακαλεῖ*, ubi Hartung *ἀνακλαίει* scripsit.

* 114. [102.]

∸ ⏑ ⏑ – ⏑ ⏑ – – ∸ ⏑ – ⏕ ∸ ⏑ – ⏕ ∸ ⏑ – –
– ∸ ⏑ ⏑ – ⏑ ⏑ – –

Ὄλβιος ὅστις ἰδὼν κεῖν' εἶσ' ὑπὸ χθόν'· οἶδε μὲν βίου
τελευτάν,
οἶδεν δὲ διόσδοτον ἀρχάν.

V. 3. *ἀνδίδοι*, legebatur *ἀνδιδοῖ*. — *ψυχὰς* Boeckh, legebatur *ψυχὰν*, Stob. *ψυχά*.— V. 4. *ἐκ τᾶν*, Stob. ΣΥr *ἐκ τῶν*, 𝔄 *ἐκ τὰν*, CF *ἔκταν*, F in m. *ἐς τὰν*. — V. 5. *αὔξοντ'* Boeckh, v. *αὔξονται*.

Fr. 111. Stob. Flor. CIII 6: *Πινδάρου Θρήνων* (hoc om. Vind. Trinc.) *εὐδαιμόνων δ. οὐκ ἔστιν ὄλβος. Εὐδαιμόνων* Ab, v. *εὐδαίμων*. — *ὄλβος* AB Vind., vulgo *ὄλβιος*.

Fr. 112. Schol. Pind. Ol. I 127: *ἐπεὶ τρεῖς καὶ δέκα. καὶ ἐν Θρήνοις τὸν αὐτὸν ἀριθμὸν τίθησι τῶν ὑπὸ Οἰνομάου ἀναιρεθέντων μνηστήρων· Πέφνε δὲ τρεῖς καὶ δέκα* (Vrat. *τρισκαίδεκα*) *ἄνδρας τετάρτῳ κτλ.* correxit Boeckh ex Schol. Hom. Il. κ 252: *καὶ τετράτῳ δ' αὐτὸς πεδάθη φησὶν ὁ Πίνδαρος, ἀντὶ τοῦ τετάρτῳ καὶ δεκάτῳ.* Resp. huc Sch. Apoll. Rh. I 747.

Fr. 114. Clem. Alex. Str. III 518: *ἀλλὰ καὶ Πίνδαρος περὶ τῶν ἐν Ἐλευσῖνι μυστηρίων λέγων ἐπιφέρει· Ὄλβιος κτλ.* — V. 1. *κεῖν' εἶσ' ὑπὸ χθόν'* scripsi, legebatur *ἐκεῖνα κοινὰ εἰς ὑπὸ χθόνα*, unde Boeckh *ἐκεῖνα κοίλαν εἶσιν ὑπὸ χθόνα, οἶδεν μὲν βίου* [*κεῖνος*] *τελευτάν*. — *βίου*, Lobeck *βιότου*. — V. 2. *ἀρχάν*, Segaar *αἴγλαν*. De homine Atheniensi Pindarum loqui verisimile est, itaque fortasse fragmentum petitum ex Threno in Hippocratem, ut Dissen et Boeckh censent, vid.

115. [103.]

Antiatt. in Bekk. An. I 99, 2: Ἦτοι οὐκ ἄρχον, ἀλλ' ὑποτασσόμενον· Πίνδαρος Θρήνοις.

116.

–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ . . . .
. . . .
. . . –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – . .
|–́ ⏑| – – –́ ⏑ ⏒
–́ ⏑ – – –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏒
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏒

Ἔντι μὲν χρυσαλακάτου τεκέων Λατοῦς ἀοιδαί
ὥριαι παιανίδες· ἔντι . . . . . ελλοντος ἐκισῦ . . στέφανον
ἐκ διο . . . . αιόμεναι· τὸ δὲ κοίμισαν τρ' . . . .
. . . . . . σώματ' ἀποφθιμένων.
ἁ μὲν ἀχέταν Λίνον αἴλινον ὕμνει,
ἁ δ' Ὑμέναιον, ὃν ἐν γάμοισι χροϊζόμενον . . . .

Schol. Pyth. VII 17: ἔοικε δὲ τὸ περὶ τὴν τοῦ Ἱπποκράτους τελευτὴν περὶ τοῦτον τὸν καιρὸν ἀπηντηκέναι, εἰς ὃν καὶ θρῆνον γράφει ὁ Πίνδαρος.

Fr. 116. Schol. Eurip. Rhes. 892: φασὶ δὲ Ἰάλεμον παρωνομάσθαι ἐπὶ τιμῇ Ἰαλέμου τοῦ Ἀπόλλωνος καὶ Καλλιόπης, ὥς φησι Πίνδαρος· ἔντι μὲν χρυσαλακάτου τεκέων (Λατοῦς) ἀοιδαὶ ω̄ . . . . . (Ambrosch ὢϊ vel ὢϋ) παιάνιδες . ἔντι . . . . . ελλοντες· ἐκ κιου . . (Ambrosch ἐκισῦ). στέφανον ἐκ διο . . . . αιόμεναι. τὸ δὲ κοιμίσαν τρ' . . . . (σώματ') ἀποφθιμένων, ἁ μὲν ἀχέταν λινὸν αἴλινον ὑμνεῖν . ἁ δὲ ὑμέναιον· ἐργάμοισι χροϊζόμενον . . . . ουμ̄ (vel οσ̄μ) πρῶτ . . λάβεν. ἐσχάτοις ὕμνοις (sec. Ambr. supra ultimam syll. ᾱ)· ἁ δὲ ἰάλεμον ὠμοβόλῳ (Ambr. ὁ . . ῳ) νούσῳ. ὅτι παῖδα θέντοι οθένος υἱὸν οἴαγρον. — V. 1. ἔντι, cod. bis ἔντι. — Λατοῦς in cod. propemodum evanidum Ambrosch vidit. Welcker et Schneidewin coniectura assecuti sunt. — V. 2. ὥριαι Hermann probabiliter. — παιανίδες Lobeck, cod. παιάνιδες. Deinde Hermann ἔντι δ' ἐπαντέλλοντος εὐκίσσου στέφανον Ἐκ διθυράμβου μαιόμεναι, quod probavit Hartung, nisi quod αὖ κισσοῦ scripsit, Schneidewin ἔντι δ' αὖ θάλλοντα ναρκίσσου στέφανον ἐκ Διωνύσου μεταμαιόμεναι. Sed omnia incerta, fortasse de Dithyrambo nullus erat sermo, sed continuo post hilares Paeanes lugubres threni commemorati erant. — V. 3. κοίμισαν, cod. κοιμίσαν. Lacunam redintegrat Hermann: τετράζυγον θεαὶ κᾶδος υἱῶν σώματ' κτλ. Hartung τὰ δὲ Μοῦσαι, τεσσάρων πενθοῖσαι σώματ' ἀποφθ. — V. 4. σώματ' in codice prope evanidum animadvertit Ambrosch, coniectura invenerunt Welcker et Schneidewin. — V. 5. Λίνον Schneidewin, cod. λίνον (λινόν). — ὕμνει Hermann, cod. ὑμνεῖν. — V. 6. ὃν ἐν γάμοισι Hermann, cod. ἐργάμοισι. Deinde σὺν πρῶτον et ὕμνοισιν scripsi, cod. σῦμ πρῶτ . . et ὕμνοις. Ceterum restitutio incerta, pro χροϊζόμενον conieci κοριζόμενον, i. e. κουριζόμενον (vid. Hesych.) *carmen nuptiale canentem*: cf. Serv. Virg. Aen. IV 127:

. . . . σὺν πρῶτον λάβεν,
ἐσχάτοις ὕμνοισιν· ἁ δ' Ἰάλεμον ὠμοβόλῳ νούσῳ [ὅτι]
πεδαθέντα σθένος,
υἱὸν Οἰάγρου (τε, χρυσάορ' Ὀρφέα.)

„Cornelius Balbus Hymenaeum ait Magnetis filium[1], musicae artis peritum, pulchritudine muliebri, dum nuptias Liberi patris et Althaeae religiosis cantibus celebrat, exspirasse." ut fortasse totus locus ita sit conformandus: ὃν ἐν γάμοισι χοριζόμενον (νηλὴς μοῖρα) σὺν πρῶτον λάβεν, i. e. alia Hymenaeum, quem primum in nuptiis canentem carmen solenne fatalis mors corripuit, extremo carminis honore decoravit. In cpeedosi scripseram: ὃν ἐν γάμοισι χροϊζόμενον (νύμφᾳ μοῖρα) σύμ πρωτον (sive σὺν πρῶτον malis) λάβεν, ἐσχάτοις ὕμνοισιν (scil. ὑμνεῖ) ut Pindarus dixerit Hymenaeum primum omnium in ipsis nuptiis in lecto geniali praematura morte extinctum esse. Hermann ὃν ἐν γαμ. χρονιζόμενον βρότεος αἰὼν φθέγμα σὺν πρώτοις λάβεν ἐσχάτοις θ' ὕμνοισιν. Hartung ἁ δ' Ὑμέναιον ἐν γάμοισι κοριζόμενον ἁλίκων πρώτοις λάχεν τ' ἐσχάτοις ὕμνοισιν. — V. 8. ἁ δ', cod. ἁ δέ. — ὠμοβόλῳ Hermann, antea scripsi ἰοβόλῳ, Schneidewin ὠμοβόρῳ. — ὅτι recte delevit Hermann. — πεδαθέντα Schneidewin et Welcker. — σθένος. Hermann σθένος θ', ut haec ad Orphea referantur. — V. 9. Οἰάγρου pro οἰάγρον Schneidewin, quod firmat Schol. Pyth. IV 313: Ἀπόλλωνος τὸν Ὀρφέα φησὶν εἶναι, ὃν καὶ αὐτὸς ὁ Πίνδαρος καὶ ἄλλοι Οἰάγρου λέγουσιν. Deinde addidi verba τε χρυσάορ' Ὀρφέα. vid. Schol. Hom. Il. ο 256: χρυσάορον . . . καὶ Πίνδαρος χρυσάορα τὸν Ὀρφέα φησίν. ut in χρυσάορα hic quoque mediae syllabae coalescant, ut Pyth. V 104. In proecdosi scripsi minus recte ἁ δ' υἱὸν Οἰάγρου, χρυσάορ' Ὀρφέα. Iam additis his verbis integra est stropha, quam ex Threnis petitam esse probabiliter statuunt Welcker et Schneidewin.

XI.

ΕΞ ΑΔΗΛΩΝ ΕΙΔΩΝ.

117. [104.]

Τί θεός; ὅ τι τὸ πᾶν.

118. [105.]

⏑ ⏑⏑́ ⏑ – ⏑ – –́ ⏑ – – ⏑⏑́ ⏑ – –́ ⏑ – –

Θεὸς ὁ τὰ πάντα τεύχων βροτοῖς καὶ χάριν ἀοιδᾷ φυτεύει.

119. [106.]

⏑ –́ ⏑ ⏑⏑́ ⏑ – ⏑ – –
– ⏑⏑́ ⏑ – ⏑ – –́ ⏑ –
⏑ –́ ⏑⏑́ ⏑ – ⏑ – ⏑ – –́ ⏑ ⏑ ⏓
–́ ⏑ – ⏑ ⏓

Θεῷ δὲ δυνατὸν ἐκ μελαίνας
νυκτὸς ἀμίαντον ὄρσαι φάος,

Fr. 117. Clem. Alex. Str. V. 726: *Πίνδαρός τε ὁ μελοποιὸς οἷον ἐκβακχεύεται ἀντικρὺς εἰπών, τί θεός: ὅ τι τὸ πᾶν.* eadem Euseb. Praep. Ev. XIII 688 C (ubi CF *τί ἐστι θεός*, D *τί θεός ἐστι*); Boeckh coni. *τί τὸ πᾶν*, sed ita foret imperfecta sententia: Pindarus quid de divino numine sentiret, graviter et insigni brevitate usus edixit; Clemens autem integrum locum adscripsit. Verum admodum insolens et otiosum *ὅ τι*, credo poetam dixisse:

τί θεός; τί δ' οὔ; τὸ πᾶν.

quemadmodum est Pyth. VIII 95: *τί δέ τις; τί δ' οὔ τις; σκιᾶς ὄναρ ἄνθρωπος.*

Fr. 118. Didymus Alexandr. de Trin. III 1, p. 320 sine poetae nomine: *θεὸς ὁ τὰ πάντα τεύχων καὶ χάριν ἀοιδᾷ φοιτεύει.* Pindari versum esse apparet ex Clem. Alex. Str. V 726 et Euseb. Praep. Ev. XIII 688 C., qui ex Pindaro post fr. 117 afferunt: *καὶ πάλιν· Θεὸς ὁ (τὰ) πάντα τεύχων βροτοῖς. φυτεύει* scripsit Heyne.

Fr. 119. Clem. Alex. Str. V 708: *ὁ μελοποιὸς δὲ θεῷ δὲ κτλ.* unde Eus. Praep. Ev. XIII 674 B. Pindaro tribuit Theodoret. Gr. Aff. Cur. VI 89, 27. — V. 1. *δὲ* Cl., om. Eus., *γὰρ* Theod. — V. 2. *ὄρσαι* Euseb. Theod. (C *ὀρίσαι*), *ὦρσαι* Cl.

κελαινεφεΐ δὲ σκότει καλύψαι καθαρόν
ἁμέρας σέλας.

120. [107.]

⏓ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –
⏑ –́ ⏑ – – ⏑́⏑ ⏑ –
– –́ ⏑ – ⏑ ⏑́⏑ ⏑ – ⏒

Κεῖνοι γάρ τ' ἄνοσοι καὶ ἀγήραοι
πόνων τ' ἄπειροι, βαρυβόαν
πορθμὸν πεφευγότες Ἀχέροντος.

121. [108.]

Ἐλασίβροντε παῖ Ῥέας.

122. [109.]

Θεὸς ἅτε πλέον τι λαχών.

123. [112.]

. . . . . –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – –
– –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
–́ ⏑ – . . . .

Πῦρ πνέοντος ἅ τε κεραυνοῦ
ἄγχιστα δεξιὰν κατὰ χεῖρα πατρός
ἵζεαι.

V. 3. *κελαινεφεΐ* Boeckh, Cl. *κελαινεφεῖ*, Theod. C *κελαινεφέει*. — *σκότει*, Schneidewin *σκότῳ*.

Fr. 120. Plutarch. de superst. c. 6: *κεῖνοι γὰρ* (om. *τ'*) *ἄνοσοι* ... *ὁ Πίνδαρος θεούς φησι*, et sine poetae nom. adv. Stoic. c. 31 et Amator. c. 18: *ἐκεῖνοι μὲν γὰρ οἱ τῶν φιλοσόφων ἄνοσοι κτλ.*

Fr. 121. Schol. Aristoph. Eq. 624: *τὸ δὲ ἐλασίβροντα παρὰ τὰ ἐκ τῆς ἀρχῆς Πινδάρου.* Suid. v. *ἐλασίβροντα ἀναρρηγνὺς ἔπη· Ἀριστοφάνης* (*ἐκ*) *τῆς ἀρχῆς Πινδάρου· ἐλασίβροντε παῖ Ῥέας. ἀντὶ τοῦ ὡς ὑπὸ βροντῆς ἐλαυνόμενε* (*ἐλαυνόμενα*). *ἐλασίβροντα* Schneider, fort. recte. Videtur initium Hymni vel Prosodii in Iovem esse.

Fr. 122. Aristid. T. I 11: *οὗτος ἁπάντων ἀρχὰς καὶ πέρατα καὶ μέτρα καὶ κλήρους ἔχων αὐτὸς ἂν μόνος εἰπών, ἃ χρὴ περὶ αὐτοῦ, Θεὸς* (ita codd., v. *θεῶν*) *ἅτε* (E *εἴτε*) *κτλ. τοῦτο γὰρ οὖν Πινδάρῳ κάλλιον ἢ ἄλλ' ὁτιοῦν εἴρηται περὶ Διός.*

Fr. 123. Sch. Hom. Il. ω 100: *ἐκ δεξιῶν ὥς φησι Πίνδαρος· πῦρ πν. ἄτερ κ. ἄγχ. κτλ. ἄτερ* quomodo corrigendum sit docet Plut. Symp. Quaest. I 2, 4: *Διαρρήδην δὲ ὁ Πίνδαρος λέγει· Πῦρ πνέοντος ἅ τε κεραυνοῦ ἄγχιστα ἡμένη.* Respicit Aristid. T. I 15: *Πίνδαρος δ' αὖ φησι δεξιὰν κατὰ χεῖρα τοῦ πατρὸς αὐτὴν καθεζομένην τὰς ἐντολὰς τοῖς θεοῖς ἀποδέχεσθαι.* — V. 3. *ἵζεαι*, fort. *ἕζεαι* scribendum.

124. [114.]

–́ ⏑ – ⏑ –́ ⏑ – –

Ἐν χρόνῳ δ' ἔγεντ' Ἀπόλλων.

125. [115.]

⏒ – –́ ⏑ ⏑ – ⏑ – – –́ ⏑ ⏑ – ⏑ – ⏓

Ὀρχήστ' ἀγλαΐας ἀνάσσων, εὐρυφάρετρ' Ἄπολλον.

126. [116.]

⏑ –́ ⏑ – ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – –

Κατεκρίθη δὲ θνατοῖς ἀγανώτατος ἔμμεν.

127. [118.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –

Μαντεύεο Μοῖσα, προφατεύσω δ' ἐγώ.

128. [119.]

Μοῖσ' ἀνέηκέ με.

129. [266.]

. . . ⏓ –́ ⏑ – ⏑ –́ ⏑ – .

⏓ –́ ⏑ ⏑ – ⏑ ⏑ – –

. . . . *Μελισσοτεύκτων κηρίων*

ἐμὰ γλυκερώτερος ὀμφά.

Fr. 124. Clem. Alex. Str. I 383: *εἰκότως ἄρα καὶ ὁ Βοιώτιος Πίνδαρος γράφει. ἐν χρ. κτλ.* Eadem Euseb. Praep. Ev, X 499 D. Scripsi *δ' ἔγεντ*, quod fere etiam Boeckh coni., v. *δὲ γένετ'*.

Fr. 125. Athen. I 22 B: *οὕτως δ' ἦν ἔνδοξον καὶ σοφὸν ἡ ὄρχησις, ὥστε Πίνδαρος τὸν Ἀπόλλωνα ὀρχηστὴν καλεῖ· ὀρχήστα ἀγλ. κτλ.* Eadem Eusth. Od. 1602, 23. Respicit idem Il. 52, 18: *διὸ καὶ Πίνδαρος εὐρυφαρέτραν αὐτὸν λέγει. ὀρχήστ'* Boeckh scripsit.

Fr. 126. Plut. de *EI* apud Delph. c. 21: *πρὸς ὃν δὲ (Ἀπόλλωνα) Πίνδαρος εἴρηκεν οὐκ ἀηδῶς· κατεκρίθη δὲ* (hoc om. Dübner) *θνατοῖς ἀγαν. ἔ.* ubi vulgo *κατεκρίθη δέον αὐτοῖς ἀγονώτατος ἔ.* idem affert de def. orac. c. 7, et adv. Epicur. c. 22: *ὁ δ' Ἀπόλλων κατεκρίθη θνατοῖς ἀγανώτατος ἔμμεν, ὡς ὁ Πίνδαρος φησίν.* Ex primo loco coniicias *κατεκρίθης*.

Fr. 127. Eust. Il. 9, 44: *Καὶ Πίνδαρος ὁ κατὰ τὸ ἐπ' αὐτῷ πρόγραμμα μουσοποιὸς λέγει· Μαντεύεο Μοῦσα κτλ.* Sch. Il. α 1: *καὶ Πίνδαρος· Μαντεύεο Μοῦσα.* cf. Matranga Anecd. 374. *Μοῖσα* scripsit Boeckh.

Fr. 128. Eust. Il. 9, 40: *ταύτῃ τῇ θεᾷ τῇ Μούσῃ ... ἐγκελεύεται ὁ ποιητὴς τὴν Ἀχιλλέως μῆνιν ἀείδειν . . . οὗ ἀνάπαλιν Πίνδαρος ποιεῖ ἐν τῷ Μοῦσα ἀνέηκέ με. ἤγουν ἀνέπεισεν.* Repetit 179, 14: *ἀνέηκέ με ἡ Μοῦσα. Μοῖσ'* Boeckh scripsit.

Fr. 129. Cram. An. Ox. I 285, 19: *Μέλεα . . . οἱ δὲ ἀπὸ τῆς μελιγήρυος. Πίνδαρος· μελισσοτεύκτων κτλ.* Et. M. 577, 19, vulgo sine poetae nom. *μ. κ. ἐ. γλυκερωτέρα ὄμφακος.* sed Hav. *γλυκύτερος ὄμφα*, Sorb. *γλυκερότερος ὄμφα.* Et. Gud. 386, 18: *οἱ δὲ ἀπὸ τοῦ μελιγόρου Πινδάρου. μελισσοτευκηρίων.*

130. [125.]

⏓ ⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ – – –́ ⏑ ⏓
⏓ – –́ ⏑ ⏑ – –

Δενδρέων δὲ νομὸν Διόνυσος πολυγαθὴς αὐξάνοι,
ἁγνὸν φέγγος ὀπώρας.

131. [126.]

⏑ –́ –́ ⏑ ⏑ – –́ ⏑ –
⏑ –́ ⏑ ⏑ – – –́ ⏑ – –́ ⏒
⏑ –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – ⏑⏑́ ⏑ – –́ ⏑ ⏑ –

Ἐλαφρὰν κυπάρισσον φιλέειν,
ἐᾶν δὲ νομὸν Κρήτας περιδαῖον.
ἐμοὶ δ' ὀλίγον μὲν γᾶς δέδοται, ὅθεν ἄδρυς·
πενθέων δ' οὐκ ἔλαχον οὐδὲ στασίων.

132. [127.]

⏑ –́ –́ ⏑ –
⏓ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏒
– –́ ⏑ –́ ⏑ ⏑ – –́ –
⏓ – –́ ⏑ ⏑ . . . . .

Τί δ' ἔρδων φίλος
σοί τε, καρτερόβροντα Κρονίδα, φίλος δὲ Μοίσαις,

Fr. 130. Plut. de Is. et Osir. c. 35: Ὅτι δὲ οὐ μόνον τοῦ οἴνου Διόνυσον, ἀλλὰ καὶ πάσης ὑγρᾶς φύσεως Ἕλληνες ἡγοῦνται κύριον καὶ ἀρχηγόν, ἀρκεῖ Πίνδαρος μάρτυς εἶναι λέγων· Δένδρον (cod. Ven. δένδρων) κτλ. sed δενδρέων idem Symp. Quaest. IX 14, 4: καὶ Διόνυσος δενδρέων νόμον πολυγαθὴς (Dübner πολυ(γα)θὴς) αὐξάνων, ἁ. φ. ὀπ. et Erot. c. 15: δενδρέων τε τρόπον Διον. πολύ τε φέγγος αὐξάνει, φέγγος ἁγν. ὀπ. Νομὸν Boeckh, vulgo νόμον.

Fr. 131. Plut. de exil. c. 9: ᾧ δ' ἔξεστιν εἰς μικρὰν ἀποβάντι νῆσον οὐ μικρῶν ἀπηλλάχθαι κακῶν, οὗτος ἄθλιός ἐστι μὴ προσλαλῶν ἑαυτῷ τὰ Πινδαρικὰ μηδ' ἐπᾴδων πολλάκις· ἐλαφρὰν κτλ. — V. 1. φιλέειν, Ahrens φιλεῖν. — V. 2. περιδαῖον Hermann, vulgo περιδαίων, Meziriac παριδαίων, Hartung ἐᾶν δὲ τρομέειν Κρῆτας περὶ δαΐων. — V. 3. ὅθεν ἄδρυς, Reiske ὅθεν ἁδρός, Hartung δέδοται πέδον, ἄδακρυς δὲ πενθέων κτλ. — V. 4. δ' Boeckh, v. δὲ. — οὐδὲ om. codd. Par. Fortasse huc resp. Synes. Laus Calv. 77 D: ἂν μὲν γὰρ ᾖ τῆς Πινδάρου τυγχάνειν εὐχῆς καὶ ζῆν ἔχωμεν ἀπὸ τῶν οἰκείων, ἐν καλῷ τοῦ θεάτρου καθιζησόμεθα.

Fr. 132. Athen. V 191 F: πρὸς εὐθυμίαν, ἣν ὁ Πίνδαρος αἰτεῖται παρὰ τοῦ Διός· τί δ' ἔρδων κτλ. Eadem Eust. Od. 1490, 38. — V. 1. Τί om. B. Conieci ὅ τι probante Schneidewino.

Εὐθυμίᾳ τε μέλων εἴην,
τοῦτ' αἴτημί σε.

133. [57.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑⏑́ – ⏑ – ⏑⏑́ ⏑ – .
– –́ ⏑ . . . .

Ὁ ζαμενὴς δ' ὁ χοροιτύπος,
ὃν Μαλεάγονος ἔθρεψε Ναΐδος ἀκοίτας
Σειληνός.

134. [128.]

–́ ⏑ – ⏑̄ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –

Ὦ τάλας ἐφάμερε, νήπια βάζεις χρήματά μοι διακομπέων.

135. [129.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –

Ταῖς ἱεραῖσι μελίσσαις τέρπεται.

136. [132.]

– –́ ⏑ – –́ ⏑ – – –́ ⏑ – ⏓

Ἀνδρῶν δικαίων χρόνος σωτὴρ ἄριστος.

V. 3. *Εὐθυμίᾳ*, Eust. *εὐθυμία*. — *τε*, Hartung *δέ*. — *μέλων* Casaubonus, v. *μελῶν*. — V. 4. *αἴτημι* ABC Eust., *αἰτοῦμαι* PVL.

Fr. 133. Pausan. III 25, 2: *Τραφῆναι μὲν δὴ τὸν Σιληνὸν ἐν τῇ Μαλέᾳ δηλοῖ καὶ τάδε ἐξ ᾄσματος Πινδάρου· Ὁ ζαμενὴς δὲ κτλ.* — V. 1. Boeckh *δ'*. — V. 2. *Μαλεάγονος* Camerarius, *Μαλέγορος* vel *μελέγορος* libri. Deinde AgVaAMLab *ἔθρεψεν αἴδος* vel *ἄϊδος*. — V. 3. *Σειληνός* Boeckh, v. *Σιληνός*. Boeckh inter dithyrambos retulit.

Fr. 134. Schol. Arist. Nub. 223: *τί με καλεῖς, ὦ 'φήμερε; ἐλέγετο δὲ ὁ Σωκράτης τὴν ὄψιν Σειληνῷ παρεμφέρειν· σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. περιέθηκεν οὖν αὐτῷ τὴν τοῦ παρὰ Πινδάρῳ Σειληνοῦ φωνήν· ὁ γάρ τοι Πίνδαρος διαλεγόμενον παράγων τὸν Σειληνὸν τῷ Ὀλύμπῳ τοιούτους αὐτῷ περιέθηκε λόγους· Ὦ τάλας κτλ.* Ead. Suidas v. *ὦ 'φήμερε. ἐφάμερε* Herm., Schneidewin *ἐπάμερε*, vulgo *ἐφήμερε*. — *νήπια* Küster et Reitz, vulgo *νήπιε*. — *διακομπέων* Hermann, Küster *διακομπῶν*, Suidas pariter atque Schol. Arist. *διακομπεύων* (cod. Ven. *χρήμ. μοι διακ.* om.). Hartung ad Dithyrambos revocavit.

Fr. 135. Schol. Pind. Pyth. IV 104: *ὅτι τὰς περὶ τὰ θεῖα μύστιδας καὶ μελίσσας φασίν, ἑτέρωθι ὁ αὐτός φησι· ταῖς ἱεραῖς μ. τ. ἱεραῖσι* Boeckh.

Fr. 136. Dionys. Halic. de orator. ant. c. 2: *ἀλλὰ γὰρ οὐ μόνον ἀνδρῶν δικ. χρ. σ. ἄριστος, κατὰ Πίνδαρον, ἀλλὰ καὶ τεχνῶν νὴ Δία καὶ ἐπιτηδευμάτων γε.*

137.

Θανόντων δὲ καὶ λόγοι φίλοι προδόται.

138. [134.]

. . . . – –
⏑ – ⏑ – – –́ ⏑ ⏑ – ⏑ [⏑ –] . . .
. . . . *Οἵ μέν*
κατωκάρα δεσμοῖσι δέδενται . . . . .

139.

. . . – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
Πίτναντες θοάν
κλίμακ' ἐς οὐρανὸν αἰπύν.

140. [137.]

– –́ ⏑ ⏑ – ⏑ – –́ ⏑ – ⏒ ⏑ –́ ⏑ ⏑ – –

'Αλλαλοφόνους ἐπάξαντο λόγχας ἐνὶ σφίσιν αὐτοῖς.

141. [142.]

⏒ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏒

Φιλόμαχον γένος ἐκ Περσέος.

Fr. 137. Stob. Flor. CXXVI, 2: *Πινδάρου*, ita cod. Vind., *Μενάνδρου* margo Gesn. Videtur *λόγοι* delendum esse: nam poeta dicere volebat: mortuos vel ab amicis prodi, mortuorum nullam esse gratiam.

Fr. 138. Schol. Arist. Pac. 153: *κατωκάρα· οὕτως λέγουσιν Ἀττικοί, οὐ διῃρημένως, ἀλλ' ὑφ' ἕν· Οἱ μ. κ. δε. δ.* (Bekker *δεσμοῖσιν δέδεντε*)· Fort. *δεσμοῖς*. Suidas *Κατωκάρα· οἱ Ἀττικοὶ ὑφ' ἓν ἀναγινώσκουσι ... Πίνδαρος· οἱ μὲν κτλ.* Eadem Gregor. Cor. 124. Videntur haec de Cercopibus dicta esse: minus recte Boeckh de Titanibus interpretatur et ad hymnum primum refert.

Fr. 139. Cram. An. Ox. I 201, 14: *θοὸς . . . σημαίνει δὲ καὶ τὸ μέγα. Πίνδαρος ἐπὶ τοῦ Ὤτου καὶ Ἐφιάλτου· Πίτνοντες θοὰν κλίμακα οὐρανὸν ἐς αἰπύν, τὴν μεγάλην δηλονότι. πίτναντες* Hermann, *κλίμακ' ἐς οὐρανὸν* scripsi. Etiam quod sequitur ex Pindaro, fortasse ex eodem carmine, petitum videtur: pergit enim grammaticus:

Θοαῖς ἀφροσύναις

ἀντὶ τοῦ μεγάλαις. sed quae addit *Θοὴ δ' ἐπεδέξατο γᾶ* (rectius Et. M. 453, 8: *θοὴ δ' ὑπεδέξατο γαῖα*) et *θοῆς ἕστηκε πόλεως (πόληος)* ex epico poeta petita arbitror.

Fr. 140. Apollon. Dysc. de Synt. II 179 ed. Bekk.: *ὥσπερ καὶ τὸ Πινδαρικὸν οἱ περὶ Τρύφωνα ἐσημειοῦντο ἐπί τε τοῦ Ὤτου καὶ τοῦ Ἐφιάλτου* (A *ἐπιάλτου*), *συγκατατιθέμενοι μὲν τῷ· ἀλλαλοφόνους ἐπάξ. λ. οὐ μὴν τῷ· ἐνὶ σφίσιν αὐτοῖς, οὐ γὰρ ἑαυτοῖς τὰ δόρατα ἐνῆκαν, ἀλλ' ἀλλήλοις.* Hartung scripsit *λόγχας ἐπαΐξαντ' ἐνί.* Ex eodem carmine est, ex quo petitum fr. 139.

Fr. 141. Athen. IV 154 F: *Φιλ. γ. ἐκ Περσέως παρὰ Πινδάρῳ. Περσέος* Boeckh.

142. [146.]

–́ ⏑ –   –́ ⏑ – – –́ ⏑ – –

Ἰσοδένδρον τέκμαρ αἰῶνος λαχοῖσαι.

143. [147.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ . . . . . .

Ἀνδροδάμαντα δ' ἐπεὶ Φῆρες δάεν ῥιπὰν μελιαδέος οἴνου,
ἐσσυμένως ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν
ὤθεον, αὐτόματοι δ' ἐξ ἀργυρέων κεράτων
πίνοντες ἐπλάζοντο.

144. [148.]

[–́] ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –

. . *Ὁ δὲ χλωραῖς ἐλάταισι τυπείς*
οἴχεται Καινεὺς σχίσαις ὀρθῷ ποδὶ γᾶν.

Fr. 142. Plut. Amator. c. 15: *ἦ γὰρ οὐ νύμφαι τινὲς αὐτοῖς δρυάδες εἰσίν· Ἶσον δένδρον ... λαχοῦσαι ... κατὰ Πίνδαρον.* et de defect. orac. c. 11: *πλέον δ' οὐδὲ Πίνδαρος εἴρηκεν, εἰπὼν τὰς νύμφας ζῆν Ἰσοδένδρου τέκμωρ αἰῶνος λαχούσας.* Schol. Apoll. Rhod. II 477: *Καὶ Πίνδαρος δέ φησι περὶ νυμφῶν ποιούμενος τὸν λόγον· Ἰσοδ. τε. αἰ. λαχοῦσα* et Et. M. 75, 44. Heyne *λαχοῖσαι* scripsit.

Fr. 143. Athen. XI 476 B: *Καὶ τῶν ποιητῶν πολλοὶ παράγουσι πίνοντας τοὺς ἀρχαίους κέρασι, Πίνδαρος μὲν ἐπὶ τῶν Κενταύρων λέγων· Ἀνδροδάμαντα δ' κτλ.* Affert etiam Eust. Il. 916, 39, idem resp. 917, 63 et ut Ruhnken putat Et. M. 504, 31, ubi *Πίνδαρος* pro *Πείσανδρος* corrigit. — V. 1. *ἀνδροδάμαντα δ'* Boeckh, *ἀνδροδάμαν δ'* Casaubonus *ἀνδροδάμαν δ' ἄρ'* Schneidewin, *ἀδάμαντα δ'* Hermann; PVL *ὁ δάμαν δ'*, om. C Eust. — *ῥιπὰν*, B *ῥυπὰν*. — *μελιαδέος* Boeckh, v. *μελιηδέος*. — V. 2. *ἐσσυμένως* om. Eust. — *τραπεζᾶν* C, *τραπεζὰν* Eust., *τράπεζαν* BPVL. — V. 3. *ὤθεον*, B *ἔνθεον*. — *αὐτόματοι*, fort. *ἀλέματοι*. Respicit carmen hoc Horat. Od. IV 2, 13: „Seu Deos regesve canit Deorum Sanguinem, per quos cecidere iusta Morte Centauri, cecidit tremendae Flamma Chimaerae.“

Fr. 144. Schol. Apoll. Rhod. I 57 (eadem Eudoc. 250): *Ὁ δὲ Ἀπολλώνιος παρὰ Πινδάρου εἴληφε λέγοντος· ὁ δὲ χλωραῖς* (ita Laur., v. *χλωρῆς*) *ἐλάτῃσι τ. οἴχεται* (ita Laur., v. *ᾤχετο*) *Καινεὺς σχίσας ὀ. π. γ.* sed P *ᾤχετ' εἰς χθόνα*, reliquis omissis Plutarch. de absurd. Stoic. opin. c. 1: *ὁ Πινδάρου Καινεὺς εὔθυναν ὑπεῖχεν, ἀπιθάνως ἄρρηκτος σιδήρῳ καὶ ἀπαθὴς τὸ σῶμα πλασσόμενος, εἶτα καταδὺς ἄτρωτος ὑπὸ γῆν, σχίσας ὀρθῷ ποδὶ γᾶν.* Boeckh, qui v. 1 *χλωραῖς ἐλάταισι* scripsit, v. 2 edidit *ᾤχεθ' ὑπὸ χθόνα Καινεὺς σχίσαις.* Pertinet autem ad idem carmen, unde fr. 143 petitum est.

145. [150.]

Διὰ βοῶν θερμὰ δ' εἰς ἀνθρακιὰν στέψαν πυρὶ δ' ὑπνόων τε σώματα· καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν ἠδ' ὀστέων στεναγμὸν βαρὺν ἦν ἰδόντα διακρῖναι πολλὸς ἐν καιρῷ χρόνος.

146. [151.]

⏑́⏑ ⏑ – –́ ⏑ ⏑ .
– –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏑ –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ ⏓
⏑ –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏓
– –́ ⏑ – ⏒ ⏑́⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ –
⏓ –́ ⏑ – ⏑ –́ ⏑ ⏑ – – –́ ⏑ ⏓
⏑ –́ – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏓

Fr. 145. Athen. X 411 B: *Ἴων δ' ἐν Ὀμφάλῃ ἐμφανίσας αὐτοῦ* (Herculis) *τὴν ἀδηφαγίαν ἐπιφέρει· ὑπὸ δὲ τῆς εὐφημίας Κατέπινε καὶ τὰ κᾶλα καὶ τοὺς ἄνθρακας. παρὰ Πινδάρου δὲ τοῦτ' εἴληφεν εἰπόντος· Διὰ βοῶν* (sic VL, *διαβοῶν* P) *θερμὰ δ' εἰς* (PVL *θερμὰ εἰς*) *ἀνθρακιὰν στέψαν πυρὶ δ'* (AB hic repetunt *εἰς ἀνθρακιὰν στέψαν πυρὶ δ'*) *ὑπνόων τε* (VL *πυριπνόων τε*) *σώματα κτλ.* Locus ab initio graviter corruptus, cum haud dubie quaedam exciderint. Boeckh scripsit: *Δοιὰ βοῶν | θέρμ' ἔδει ἀνθρακιὰν στέψαντα πυρίπνοά τε | σώματα· καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν | εἶδον ἠδ' ὀστέων στεναγμὸν βαρύν· | ἦν δὲ ἰδ. κτλ.* Ego in proecdosi: *Δοιὰ βοῶν κατέπινεν θέρμ' ἅλις ἀνθρακιὰν* in ceteris Boeckhium secutus. Extrema sic videntur corrigenda: *σώματα κεῖτο τέγει· σαρκῶν τ' ἐνοπάν ἠδ' ὀστέων στεναγμὸν βαρὺν | ἦν διακρῖναι ἰδόντα πολλὸς ἐν καιρῷ χρόνος.* Meineke scripsit *δοιὰ βοῶν | θερμὰν ἐς ἀνθρακιὰν τρέψας πυρπολέων τε | σώματα. καὶ τότ' ἐγὼ σαρκῶν τ' ἐνοπὰν | (ἄιον) ἠδ' ὀστέων στεναγμὸν βαρύν. ἦν ἰδόντα κτλ.* Hartung *δοιὰ βοῶν θερμὰν | εἰς ἀνθρακιὰν στρέψεν πυριπνέοντα | σώματα· . . . . ὀστέων | στεναγμὸν βαρύνθην ἰδών, τὰ διακρῖναι | πολλὸς οὐ παρῆν χρόνος*, ex parte usus Casauboni coniecturis, qui tentavit haec: *βρῦκε βοῶν θερμὰν εἰς ἀνθρακιὰν στρέψας πυριπνέοντα σώματα· καὶ . . . βαρύνθην ἰδών, τὰ διακρῖναι πολλὸς ἐν καιρῷ χρόνος.* Respicit huc Philostr. Imagg. II 24: *Ὀργίζεται τῷ Ἡρακλεῖ ὁ Θειοδάμας ὅτι ἀροῦντι αὐτῷ ἐπιστὰς ἀποσφάττει τὸν ἕτερον τῶν βοῶν καὶ σιτεῖται, σφόδρα ἐθὰς ὢν τοῦ τοιούτου σιτίου· Ἡρακλεῖ γάρ που παρὰ Πινδάρῳ ἐνέτυχες, ὁπότε εἰς τὴν τοῦ Κορώνου στέγην ἀφικόμενος σιτεῖται βοῦν ὅλον, ὡς μηδὲ τὰ ὀστέα περιττὰ ἡγεῖσθαι. Θειοδάμαντι δὲ περὶ βουλυτὸν ἐπιφοιτήσας καὶ πῦρ κομισάμενος, ἀγαθοὶ δὲ ἐμπυρεύσασθαι καὶ οἱ λίθοι, ἀπανθρακίζει τὸν βοῦν ἀποπειρώμενος τῶν σαρκῶν, εἰ μαλάττονται ἤδη, καὶ μονονουχὶ ἐγκαλῶν τῷ πυρὶ ὡς βραδεῖ.*

Fr. 146. Plato Gorg. 484 B: *Δοκεῖ δέ μοι καὶ Πίνδαρος ἅπερ ἐγὼ λέγω ἐνδείκνυσθαι ἐν τῷ ᾄσματι ἐν ᾧ λέγει, ὅτι Νόμος ὁ πάντων β. θ. τε καὶ ἀθ. οὗτος δὲ δή, φησίν, ἄγει . . . Ἡρακλέος, ἐπεὶ ἀπριάτας, λέγει οὕτω πως· τὸ γὰρ ᾆσμα οὐκ ἐπίσταμαι· λέγει δ' ὅτι οὔτε δόντος τοῦ Γηρυόνου ἠλάσατο τὰς βοῦς· ὡς τούτου ὄντος τοῦ δικαίου φύσει καὶ βοῦς καὶ τἆλλα κτήματα εἶναι πάντα τοῦ βελτίονός τε καὶ κρείττονος τὰ τῶν χειρόνων τε καὶ τῶν ἡττόνων.* Boeckh censet initio *κατὰ φύσιν* addendum esse propter p. 488 B: *Πῶς φὴς τὸ δίκαιον*

Νόμος ὁ πάντων βασιλεὺς
θνατῶν τε καὶ ἀθανάτων
ἄγει δικαιῶν τὸ βιαιότατον
ὑπερτάτᾳ χειρί· τεκμαίρομαι
ἔργοισιν Ἡρακλέος· ἐπεὶ Γηρυόνα βόας

ἔχειν καὶ σὺ καὶ Πίνδαρος, τὸ κατὰ φύσιν ἄγειν βίᾳ τὸν κρείττω τὰ τῶν ἡττόνων. sed ibi potius interpungendum *καὶ σὺ καὶ Πίνδαρος τὸ κατὰ φύσιν, ἄγειν κτλ.* Favere tamen Boeckhii sententiae (qui propterea etiam in priore Gorgiae loco coniecit *οὗτος δὲ δή φησιν, κατὰ φύσιν* vel *φύσει ἄγει*) videtur Plato Legg. IV 714 D: *καὶ ἔφαμέν που κατὰ φύσιν τὸν Πίνδαρον ἄγειν δικαιοῦντα τὸ βιαιότατον, ὡς φάναι.* et multo magis ib. III 690 B: *πέμπτον γε οἶμαι τὸν κρείττονα μὲν ἄρχειν, τὸν ἥττω δὲ ἄρχεσθαι. Μάλα γε ἀναγκαίαν ἀρχὴν εἴρηκας. Καὶ πλείστην γε ἐν ξύμπασι τοῖς ζώοις οὖσαν καὶ κατὰ φύσιν, ὡς ὁ Θηβαῖος ἔφη ποτὲ Πίνδαρος.* At videtur *κατὰ φύσιν* potius interpretandi gratia ubique a Platone adiectum: nam quominus altero loco Legum ipsa Pindari verba servata esse credas prohibere videntur, quae subiuncta sunt: *τὸ δὲ μέγιστον, ὡς ἔοικε, ἀξίωμα ἕκτον ἂν γίγνοιτο, ἕπεσθαι μὲν τὸν ἀνεπιστήμονα κελεῦον, τὸν δὲ φρονοῦντα ἡγεῖσθαί τε καὶ ἄρχειν· καίτοι τοῦτό γε, ὦ Πίνδαρε σοφώτατε, σχεδὸν οὐκ ἂν παρὰ φύσιν ἔγωγε φαίην γίγνεσθαι, κατὰ φύσιν δέ, τὴν τοῦ νόμου ἑκόντων ἀρχήν, ἀλλ᾽ οὐ βίαιον πεφυκυῖαν.* Minus etiam probat Hesychius: *Νόμος πάντων ὁ βασιλεύς, κατὰ τὴν φύσιν.* Neque Dissenio assentiendum, qui putat alios *παρὰ φύσιν* legisse, ut poeta scripserit *πάντα δὲ παρὰ φύσιν*, collato Plat. Protag. 337 D: *ὁ δὲ νόμος τύραννος ὢν τῶν ἀνθρώπων πολλὰ παρὰ τὴν φύσιν βιάζεται.* — Neque lectum fuisse apud Pindarum *κατὰ φύσιν* confirmat Schol. Pind. Nem. IX 35: *ὁ δὲ ἰσχυρὸς ἀνὴρ τὸ προϋπάρχον δίκαιον καταπαύει· ἐν ἄλλοις Πίνδαρος· Νόμος . . . χειρί.* Nihil tribuendum Aristidi II 68, qui ex Platone descripsit totum locum usque ad *τεκ. ἔ. Ἡρ. ἐπεὶ ἀπριάτας.* — Celeberrimam sententiam de legis imperio respiciunt Herodot. III 38: *καὶ ὀρθῶς μοι δοκέει Πίνδαρος ποιῆσαι νόμον πάντων βασιλέα φήσας εἶναι.* Plut. ad princ. indoct. c. 3, vit. Demet. c. 42, Origen. adv. Cels V 255, Clem. Str. I 427. II 438 (v. 1. 2), Dio Chrys. Or. LXXV p. 751, Iamblich. ap. Stob. Flor. XLVI 77, Liban. III 364. — V. 3. *δικαιῶν τὸ βιαιότατον* Schol. Pind. et Aristid. non solum in versibus, sed etiam in explicatione; ap. Plat. vulgo *βιαίως τὸ δικαιότατον* (quae antiqua satis dittographia in Pindari codicibus fuisse videtur), ubi *βιαίων* 𝔄*ΓΔΣΤΦ*BCI, *βιαιῶν Ξ*, om. F et VZa m. pr. (VZa m. sec. *πάνθ᾽*, et praeterea *τὸ δικαιότατον* om.) sed idem V in marg. *δικαιῶν τὸ βιαιότατον.* Firmat hoc Plato ipse de Leg. IV 714 B: *τὸν Πίνδαρον ἄγειν δικαιοῦντα τὸ βιαιότατον.* Respicit ibid. X 890 A: *ἰδιωτῶν τε καὶ ποιητῶν, φασκόντων εἶναι τὸ δικαιότατον, ὅτι τις ἂν νικᾷ βιαζόμενος,* adde Liban. III 30 ed. Reiske: *δεδοικὼς αὐτοῦ* (Pindari) *τὴν διδαχὴν καὶ φοβούμενος, μή τις τῶν νέων ἀκούσας, ὡς ὑπερτάτῃ χειρὶ βιάζεται τὸ δίκαιον, ἀμελήσας τῶν νόμων ἀσκεῖ τὼ χεῖρε* (quae ibi subiunguntur de Anyto furtim Pindari versus immutante, fortasse ad dittographiam illam referenda sunt). et Boisson. An. Nov. 303: *Ὁ Πίνδαρος ἐπαινεῖται, ὑπερτάτᾳ χειρὶ τὸ δίκαιον ὁριζόμενος.* — V. 4. ap. Plat. *ΞΣ ὑπερτάτῃ* et V *χερὶ* (hoc etiam Θ ap. Arist.). — V. 5. *Ἡρακλέος* ap. Plat. 𝔄*ΓΞΣΤ*BCFIWV (a. m. pr.) ap. Aristid. N, vulgo utroque l. *Ἡρακλέους.* — *ἐπεὶ Γ. β.* et v. 6. 7 solus servavit schol. Aristid. III 408 (adde Schol. cod. Vatic. II 710): *τὰ λοιπὰ τῆς χρήσεως ἦν οὕτως· ἐπεὶ Γηρυόνου βόας Κυκλωπείων ἐπὶ προθύρων Εὐρυσθέως συναιρεῖται* (Ox. Vat. *ἀναιρεῖται*) *καὶ* (Vat. *καὶ εἰ*) *ἀπριάτας ἔλασεν* (Vat. Ox. *ἤλασεν*) *ὁ δὲ νοῦς τοιοῦτος, ἐπειδὴ τὰς τοῦ Γηρυόνου βόας οὔτε αἰτήσας*

Κυκλωπίων ἐπὶ προθύρων Εὐρυσθέος
ἀναιτήτας τε καὶ ἀπριάτας ἤλασεν.

147. [154.]

–́ ⏑ ⏑ – ⏑ ⏑ ⏓

Πάντα θύειν ἑκατόν.

148. [157.]

. . ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –

. . *Κατὰ μὲν φίλα τέκν' ἔπεφνεν*
θάλλοντας ἥβᾳ δυώδεκ', αὐτὸν δὲ τρίτον.

149. [158.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –
– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ – – –́ ⏑ – –́ ⏑ – – –́ ⏑ –

Οὐ Πηλέος ἀντιθέου μόχθοις νεότας ἐνέλαμψεν μυρίοις;
πρῶτον μὲν Ἀλκμήνας σὺν υἱῷ Τρωΐον ἂμ πεδίον,
καὶ μετὰ ζωστῆρας Ἀμαζόνος ἦλθεν, καὶ τὸν Ἰάσονος εὔ-
δοξον πλόον
ἐκτελέσσαις εἷλε Μήδειαν ἐν Κόλχων δόμοις.

οὔτε πριάμενος ἤλασεν εἰς τὸν οἶκον τοῦ Εὐρυσθέως. unde Boeckh praeclare *ἀναιτήτας* scripsit, qui etiam cetera correxit.

Fr. 147. Strabo III 155: *ποιοῦσι δὲ καὶ ἑκατόμβας* (Lusitani) *ἑκάστου γένους Ἑλληνικῶς ὡς καὶ Πίνδαρός φησι· Πάντα θ. ἑ.*

Fr. 148. Schol. Il. κ 252: *οἷον· κατὰ μὲν φίλα τέκνα ἔπεφνε θάλλοντα* (*θάλλοντας* Boeckh) *ἥβᾳ δυώδεκα, αὐτὸν δὲ τρίτον· ἀντὶ τοῦ τρίτον καὶ δέκατον, καὶ τετράτῳ δ' αὐτὸς πεδάθη φησὶν ὁ Πίνδαρος ἀντὶ τοῦ τετάρτῳ καὶ δεκάτῳ.*

Fr. 149. Schol. Eurip. Androm. 781: *Οἱ μὲν πλείους Τελαμῶνά φασι συστρατεῦσαι τῷ Ἡρακλεῖ ἐπὶ τὴν Ἴλιον, ὁ δὲ Πίνδαρος καὶ Πηλέα, παρ' οὗ ἔοικε τὴν ἱστορίαν ὁ Εὐριπίδης λαβεῖν· λέγει δὲ ὁ Πίνδαρος· Οὐ Πηλέως κτλ.* — V. 1. *οὐ*, Cobet coni. *οὕτω*, ut sit scholiastae. — *Πηλέος* Boeckh, v. *Πηλέως*. — *μόχθοις νεότας* scripsi, vulgo *μόχθοιν νεώτατον*, Va *μόχθοιν νεώτατ'*, Vc *μοχθοινεωτάτοις*. — *ἐνέλαμψεν* scripsi, *ἐπέλαμψεν* vel *ἐπέλαμψε* libri, vulgo *ἐπιλάμψαι*. Boeckh coni. *μόχθοι νεόταт' ἐπέλαμψαν μυρίοις*, Hermann *μόχθοι νεότατ' ἐπέλαμψαν μυρίοι*. — V. 2. *Ἀλκμήνας* Boeckh, v. *Ἀλκμήνης*. — *υἱῷ*, Va *ὑμῖν*. — *Τρωΐον* Boeckh, libri *Τρώων*. — *πεδίον* VaVc, ut Boeckh coniecerat, vulgo *πέδιλα*. — V. 3. *Ἀμαζόνος* Bothe, vulgo *Ἀμαζόνας*. Cobet *ζωστῆρ' Ἀμαζόνος*, Hermann *ζωστῆρ' ὅτ' Ἀμαζόνος*, Schneidewin *ζωστῆρ' ἀμ' Ἀμαζόνος*. — *ἦλθεν* Boeckh, v. *ἦλθε*. — *εὔδοξον* om. Vc. — V. 4. *ἐκτελέσσαις* Schneidewin, *ἐκτελέσας* Va, vulgo *ἐκτελευτήσας*, hinc Boeckh *ἐκτελευτάσαις ἕλεν*. — *ἐν Κόλχων δόμοις* VaVc, *ἐκ Κόλχων δόμων* vulgo: locus de vitio suspectus.

150. [160.]

⏑ ⏕ – ⏑ – – ⏑ – – ⏑ ⏓

Σύριον εὐρυαίχμαν διεῖπον στρατόν.

151. 152. 153. [159. 161. 162.]

Pausan. VII 2, 7: *Πολλῷ δὴ πρεσβύτερα ἔτι ἢ κατὰ Ἴωνας τὰ ἐς τὴν Ἄρτεμιν τὴν Ἐφεσίαν ἐστίν· οὐ μὴν πάντα γε τὰ εἰς τὴν θεὸν ἐπύθετο, ἐμοὶ δοκεῖν, Πίνδαρος, ὃς Ἀμαζόνας τὸ ἱερὸν ἔφη τοῦτο ἱδρύσασθαι στρατευομένας ἐπὶ Ἀθήνας τε καὶ Θησέα.* — Idem I 2, 1: *Ἐσελθόντων δὲ ἐς τὴν πόλιν ἐστὶν Ἀντιόπης μνῆμα Ἀμαζόνος· ταύτην τὴν Ἀντιόπην Πίνδαρος μέν φησιν ὑπὸ Πειρίθου καὶ Θησέως ἁρπασθῆναι.* — Plut. vit. Thes. c. 28: *Τῆς δὲ Ἀντιόπης ἀποθανούσης ἔγημε (Θησεὺς) Φαίδραν, ἔχων υἱὸν Ἱππόλυτον ἐξ Ἀντιόπης, ὡς δὲ Πίνδαρός φησι, Δημοφῶντα.* Haec tria fragmenta ad idem carmen pertinere verisimile est.

154. 155. 156. 157. 158. [164—168.]

⏓ – ⏑ – – ⏑ – – ⏑ – ⏑ –

⏓ – ⏑ ⏑ – ⏑ – – ⏑ – ⏑ –

Πεπρωμέναν θῆκε μοῖραν μετατραπεῖν
ἀνδροφθόρον, οὐδὲ σιγᾷ κατερρύη.

Fr. 150. Strabo XII 544: *Καὶ Πίνδαρός φησιν ὅτι αἱ Ἀμαζόνες Σύρ. εὐρ. διεῖπον* (*διῖπον* C, *δίηπον* lw, *δίεπον* oxz) *στρ. τὴν ἐν τῇ Θεμισκύρᾳ κατοικίαν οὕτω δηλῶν. ἡ δὲ Θεμίσκυρά ἐστιν ἡ τῶν Ἀμισηνῶν. αὕτη δὲ Λευκοσύρων τῶν μετὰ τὸν Ἅλυν.* Pro *Σύριον* Welcker *Σκύριον*, non recte probante Schneidewino.

Fr. 154—158. Priscian. de metris Comic. p. 248 ed. Lindem.: „Pindarus teste Heliodoro *ἀντέστρεψεν*, hoc est *convertit* rhythmum iambicum hoc modo: *Πεπρωμέναν ἔθηκεν μοῖραν μετατραπεῖν Ἀνδροφθόρον οὐδὲ σιγᾷ κατερρύη* (R *Πεπρωαιενεεκεν*, A *εενκεν*, V *εθηκεν.*, deinde R om. *μοῖραν μετ. ἀνδρ.*, tum R *αιδεσιταικατερριη*, A *οιδε*). In secundo enim iambo pyrrhichium secundum et tertium trochaeum et quartum spondeum posuit. Idem: *Τροχὸν μέλος αἱ δὲ Χείρωνος ἐντολαί* (R *τροχον α. εανοςεντοαλι*, A *χειρονως*, Putsch. *ἐντολάς*). Hic iambus in tertio trochaeum habet et in quarto spondeum. Idem *Αἴνιγμα π. ἐξ ἀγρίαν γν.* (VRA *ιταρεενου*). Hic quarto loco spondeum posuit. Idem *ἐν δασκίοισιν πατὴρ, νηλεεῖ νόῳ δ'* (ita Hermann. Putsch. *ἐν δ' ἀσκίοισιν πατὴρ ἦν ἑινοωα*, sed V *εν δ' ασκιοισι*, R *ενδασκιοισινσιατηρδια*, A *ενδασκνουσινπατερνηλεεινοωλι*). In hoc quoque iambo trochaeum in tertio loco posuit, et in quarto spondeum. Idem *δ' οὐδὲν προσαιτέων ἐφθεγξάμαν ἔπι.* (sic Hermann, vulgo *ἔφη· ἑξόμαν ἔπι*, V *δ' ουδεν*, R *δουδεν*, A diòden, deinde V *εφετξαμανεπι*, A *εφεετξαμανεπι*). Hic similiter in quarto loco spondeum habet." Heliodori verbum *ἀντέστρεψεν*, quod ad strophicam responsionem referendum est, non intellexit Priscianus, nec tamen utar nunc hoc argumento, ut fr. 154 v. 1 a v. 2 dirimendum putem, quamquam aequabilitatem facile restituas (potest *ἀνδροφθόρων* scribi aut produci extrema syllaba), nam sententiae tam apta est necessitudo, vix ut

Τροχὸν μέλος· ταὶ δὲ Χείρωνος ἐντολαί.

– –́ ⏑ – ⏑ – ⏓ –́ ⏑ –́ ⏑ –

Αἴνιγμα παρθένου δ' ἐξ ἀγριᾶν γνάθων.

'Εν δασκίοισιν πατήρ· νηλεεῖ νόῳ δ'.

Δ' οὐδὲν προσαιτέων ἐφθεγξάμαν ἔπι.

159. [169.]

⏓ –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ ⏓

Νόμων ἀκούοντες θεοδμάτων κέλαδον.

160. [170.]

. . . . ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏓

– –́ ⏑ . . . .

'Υφαίνω δ' 'Αμυθαονίδαις ποικίλον ἄνδημα.

divellendos esse versus credibile sit. Scripsi autem v. 1 *θῆκε* pro *ἔθηκε*, quod cum iam Heliodorus reperisset, eo adductus est, ut senarium hunc esse existimaret et non solum eos versus qui huic respondent, sed etiam alios plane diversi numeri eodem revocaret. — Fr. 155. *ταὶ δὲ* Hermannum secutus scripsi pro *αἱ δὲ*, quod per se numero versus non officit, nam tunc foret versus compositus ad exemplum v. 2 fr. 154; quod si *ταὶ δὲ* scribimus respondet hic versus versui 1, et hoc suadent Prisciani verba, nisi forte apud Priscianum ommissa sunt verba: *in secundo pyrrhichium et*. — Fr. 156 *παρθένου δ'* scripsi, in libris *δ'* deest: constat hic versus pariter atque fr. 158 ex duabus tripodiis iambicis. — Fr. 157. respondet fr. 154 v. 1. — Fr. 158. respondet fr. 156. Fuit haud dubie *ἐγὼ δ' | οὐδὲν κτλ.* Pro *ἔπι* Hermann etiam *ἔτι*, possis etiam *ἐπεί*, ut ipsa oratio subsequatur. Ceterum in hoc carmine poeta Oedipi fortunam, qui Sphingem superavit, decantaverat, in quo obiter potuit etiam Chironis praeceptorum mentio fieri.

Fr. 159. Prisc. de metr. com. p. 251 Lind.: „Idem (Heliodorus) ostendit Pindarum etiam trisyllabos in fine versus posuisse: *Νόμων ἀ. θεόδμητον κ.* ecce in hoc iambo in fine tribrachyn posuit, qui nec concatenatus esse potest cum consequente, quippe in consonantem desinens." R *νομον*, A *κονοντες*, R *θεονητον*, V *θεολνη τον*. scripsi *θεοδμάτων*, Boeckh *θεόδματον*. Versus videtur ex Hymno primo petitus et ad Cadmi nuptias pertinere, quamquam geminus versus illius carminis non extat: sed epodi quale diagramma fuerit, nescimus.

Fr. 160. Schol. Pind. Nem. VII. 116: *ἐπεὶ τὸ ποίημα ὑφάσματι παρέοικεν, ὡς καὶ αὐτὸς ἐν ἄλλοις· ὑφαίνω κτλ.* ubi vulgo *'Αμυθαωνίδαις*.

161. [172.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏓

Μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀχρεῖον λόγον·
ἔσθ' ὅτε πιστοτάτα σιγᾶς ὁδός· κέντρον δὲ μάχας ὁ κρατιστεύων λόγος.

* 162. [174.]

[–́ ⏑ ⏑ –] ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –

. . . . *Ὁ γὰρ ἐξ οἴκου ποτὶ μῶμον ἔπαινος κίρναται.*

163. [175.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏒ – –́ ⏑

Ὦ πόποι, οἷ' ἀπατᾶται φροντὶς ἐπαμερίων
οὐκ εἰδυῖα.

164. [177.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑́⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑́⏑ ⏑ – ⏑ ⏓

Ὃς Δολόπων ἄγαγε θρασὺν ὅμιλον σφενδονᾶσαι,
ἱπποδάμων Δαναῶν βέλεσι πρόσφορον.

Fr. 161. Clem. Al. Str. I 345: *ἔστι γοῦν ἀκοῦσαι καὶ Πινδάρου τοῦ Βοιωτίου γράφοντος· Μὴ πρὸς ἅπ. κτλ. διατείνεται οὖν εὖ μάλα ὁ μακάριος ἀπόστολος παραινῶν ἡμῖν· μὴ λογομαχεῖν τε δι' οὐδὲν χρήσιμον ἐπὶ καταστροφῇ τῶν ἀκουόντων κτλ.* Primus versus legitur etiam ap. Theodoretum Gr. Aff. Cur. I 19,21; apud utrumque est *τὸν ἀρχαῖον*, quod correxit Boeckh. — V. 2. vulgo *ὅτι πιστοτάταις σιγᾶς ὁδοῖς*, emendavit Sylburg, sed fort. legendum *πιστοτάται σιγᾶς ὁδοί.*

Fr. 162. Schol. Pind. Nem. VII 89: *Οὐδείς με ψέγει, ὅτι ἐπαινῶ τοὺς Αἰγινήτας· οὐ γὰρ πολίτας ὄντας ἐμαυτοῦ διὰ τοῦτο ἐπαινῶ. προσχαρίζεσθαι γὰρ ἂν ἐδόκουν διὰ τὴν οἰκειότητα ἐγκωμιάζων· ὁ γὰρ κτλ.* Pindaro probabiliter tribuit Boeckh.

Fr. 163. Aristid. II 547: *Καὶ πάλιν ὁρμηθεὶς ἐκ τῶν περὶ τῆς Ἐριφύλης λόγων, ὢ (ὦ Γ) πόποι, φησί (Πίνδαρος) κτλ. ἐπαμερίων ΓΘ, ἐφαμερίων ΔL — εἰδυῖα,* Boeckh *ἰδυῖα.*

Fr. 164. Strabo IX 431: *Ὁ μὲν οὖν ποιητὴς οὐδαμοῦ μέμνηται Δολοπικῆς στρατιᾶς κατὰ τοὺς περὶ Ἴλιον ἀγῶνας· οὐδὲ γὰρ αὐτῶν τὸν ἡγεμόνα Φοίνικα πεποίηκεν εἰς τοὺς κινδύνους ἐξιόντα, καθάπερ τὸν Νέστορα· ἄλλοι δὲ εἰρήκασι, καθάπερ καὶ Πίνδαρος, μνησθεὶς τοῦ Φοίνικος· ὃς Δολόπων κτλ.* Respicit Eust. Il. 311, 22. — V. 2. *πρόσφορον*, A (a manu pr.) egi *πρὸς φόνον.*

165. [179.]

. . ⏑ – ⏑ ⏑́⏑ ⏑ – ⏑ –́ ⏑ – ⏑

Ὑπερμενὲς ἀκαμαντόχαρμαν Αἶαν.

166. [184.]

⏑ ⏑́⏑ –́ ⏑ – –́ ⏑ – ⏑ ⏓

Ἔτι δὲ τειχέων κηκίει καπνός.

167. [185.]

– –́ ⏑ – –́ ⏑ ⏑ – – –́ ⏑ – –
⏒ – –́ ⏑ ⏑ – ⏓

Αὐτόν με πρώτιστα συνοικιστῆρα γαίας
ἔσδεξαι τεμενοῦχον.

168. [186.]

– –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ ⏓

Ἥρωες αἰδοίαν ἐμίγνυντ' ἀμφὶ τράπεζαν θαμά.

169. [190.]

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒

Φθέγμα μὲν πάγκοινον ἔγνωκας Πολυμνάστου Κολοφω-
νίου ἀνδρός.

Fr. 165. Choeroboscus I 106 (Bekk. An. III 1183): *καὶ παρὰ Πινδάρῳ· ὑπερμε. ἀκ. Αἶαν· περὶ οὗ ἔστιν εἰπεῖν, ὅτι ἢ κατὰ συνεκδρομὴν τοῦ Αἶαν ἐγένετο ἀκαμαντόχαρμαν, ἢ διὰ τὴν ἐπαλληλίαν τῶν φωνηέντων.* cod. Marc. *καὶ παρὰ Πινδάρῳ τὸ ὦ ἀκαμαντοχάμαρ οἷον ὑπ. ἀκαμαντοχάμαρ Αἶαν.* cf. Choerob. I 128. Et. M. 44, 45.

Fr. 166. Et. Gud. 321, 54: *Κίκυς ... καὶ παρὰ Πινδάρῳ· ἔστι δέ τοι χέκων ἀκύει καπνός.* Cram. An. Par. IV 35, 24: *ἔστι δὲ ταχέων κακίει καπνός.* Boeckh *ἔτι δὲ τειχέων*, ego *κηκίει* scripsi, sine *ἀνακηκίει* malis, Schneider *ἀνακικύει* coni. De Troiae ruina videtur sermo esse.

Fr. 167. Apollon. de Synt. II p. 138 ed. Bekk. sine auctoris nomine: *Αὐτόν με κτλ.* sed A in m.: *Πινδάρου ἡ χρῆσις.* — V. 1. Fort. *ξυνοικιστῆρα* aut *πρώτιστον.* — V. 2. *ἔσδεξαι τεμενοῦχον* A ex corr., vulgo *ἐσδέξεται μενοῦχον.*

Fr. 168. Plut. Quaest. Symp. II 10, 1: *τὰ δὲ Πινδαρικὰ (συμπόσια) βελτίω δήπουθεν, ἐν οἷς ἥρωες ... θαμά, τῷ κοινωνεῖν ἁπάντων ἀλλήλοις.* sic Stephanus, libri *ἥρως ... ἐμίγνυντ' ... θ' ἅμα.* Fort. *ἅμα* scribendum: tunc poterit versus ad Hymnum I referri, ut poeta de deorum et heroum commercio verba fecerit.

Fr. 169. Strabo XIV 642: *λέγει δὲ Πίνδαρος καὶ Πολύμναστόν τινα τῶν περὶ τὴν μουσικὴν ἐλλογίμων, φθέγμα κτλ.* Plut. de mus. c. 5: *τοῦ δὲ Πολυμνήστου καὶ Πίνδαρος καὶ Ἀλκμὰν οἱ τῶν μελῶν ποιηταὶ ἐμνημόνευσαν.* Ap. Strab. xz *πὰν κοινόν*, F *κολοφανίου.* Ceterum videtur secuta esse sententia aliqua, fort. fr. 161.

170. [197.]

– –́ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏓

Πανδείμαντοι μὲν ὑπὲρ πόντιον Ἕλλας πόρον ἱρόν.

171. [198.]

–́ ⏑ – – –́ ⏑ ⏑ – . . . .

Ἁ Μιδύλου δ' αὐτῷ γενεά . . . .

172. [199.]

– –́ ⏑ – ⏒ –́ ⏑ –

Κεἴ μοί τιν' ἄνδρα τῶν θανόντων.

173. [201.]

–́ ⏑ – ⏑ –́ ⏑ – ⏑ –́ ⏑ – ⏑ – –

Αἰολεὺς ἔβαινε Δωρίαν κέλευθον ὕμνων.

174. [204.]

– –́ ⏑ – – –́ ⏑ ⏓

⏑ –́ –́ ⏑ –

Δελφοὶ θεμίστων [ὕμνων] μάντιες
Ἀπολλωνίδαι.

Fr. 170. Schol. Aristoph. Vesp. 306: *Νῦν πόρον τὸν πορισμόν φησι, ἐπήνεγκε δὲ τοῦτο παρὰ τὸ Πινδαρικόν· Πανδειμάτι* (Ven. sec. Bekker. *πανδείμαντοι*, sec. Dübnerum *πανδείματοι*) *μὲν ὑπερπόντιον Ἑλλὰς πόρον ἱερόν. ὁ Πίνδαρος τὸν πλοῦν τοῦ Ἑλλησπόντου, νῦν δὲ πορισμόν.* Rav. nihil nisi *ὑπερπόντιον Ἑλὰς πόρον.* Boeckh *ὑπὲρ πόντιον Ἕλλας* scripsit, deinde correxi *ἱρόν.* Dindorf coni. *πᾶν δεῖμά τοι*, Hermann ingeniose: (*γέφυραν*) *τὰν δείματο μὲν ὑπὲρ πόντιον πόρον Ἕλλας ἱερόν.* Videtur autem fr. ad *dithyrambos* pertinere.

Fr. 171. Schol. Pind. Pyth. VIII 53: *Φατρία ἐν Αἰγίνῃ Μιδυλιδῶν ἀπὸ Μιδύλου προγόνου ἐπιδόξου γεγονότος, αὐτὸς δ' ἐν ἄλλοις· ἁ Μιδύλου* (sic cod. Gott., vulgo *Μιδυλίδου* omisso articulo) *δ' αὐτῷ γέννα φησί. γενεὰ* Hermann. Fortasse rectius et hic *Μειδύλου* et in Pyth. VIII. *Μειδυλιδᾶν* scribitur.

Fr. 172. Schol. Pind. Isthm. IV inscript. loco satis impedito: *λέγει δὲ ἤδη τετελευτηκότα τὸν Πυθέαν κεἴ μοι . . . θανόντων καὶ τὰ ἑξῆς.* fortasse ex Threno est fragmentum, aut ex Isthmiaca aliqua oda.

Fr. 173. Sch. Pind. Pyth. II 127: *ἐν Αἰολίδεσσι*] *Βοιωτίαις, ἐκεῖθεν γὰρ ὁ Πίνδαρος.* (*Ἄλλως*) *ἐπεὶ οἱ Αἰολεῖς κιθαρῳδοί· τὸ δὲ μέλος Αἰολικῷ ῥυθμῷ συνέταξε· τοιοῦτόν ἐστι καὶ τὸ ἑτέρωθι λεγόμενον· Αἰολεὺς κτλ.* ubi R *Δωρίας* et *ὑμνῶν.* Videtur aliquid excidisse, fort. *Αἰολεὺς τέκτων ἔβαινεν.* Hartung *ἔβαινον* scripsit.

Fr. 174. Schol. Pind. Pyth. IV 4: *Δύναται δὲ καὶ τοὺς Δελφοὺς λέγειν* (*Λατοΐδας*), *ἑτέρωθι γὰρ Ἀπολλωνίδας αὐτοὺς προσηγόρευσε· Δελφοὶ θεμιστῶν ὕμνων μάντ. Ἀ.* — *θεμίστων* scripsit Heyne deleto *ὕμνων.*

175. [205.]

. . . . . . –́ ⏑ ⏑ – ⏑ ⏑ – –
– –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ –

. . . . . . Πενταετηρὶς ἑορτά
βουπομπός, ἐν ᾇ πρῶτον εὐνάσθην ἀγαπατὸς ὑπὸ σπαρ-
γάνοις.

176. [206.]

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ –
– –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ – –

Κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς·
εἶα τειχίζωμεν ἤδη ποικίλον
κόσμον αὐδάεντα λόγων·
ὃς καὶ πολυκλειτάν περ ἐοῖσαν ὅμως Θήβαν ἔτι μᾶλλον
ἐπασκήσει θεῶν
καὶ κατ' ἀνθρώπων ἀγυιάς.

Fr. 175. Vita Pindari T. II p. 9 Boeckh (p. 97 Westermann): *Καὶ γὰρ ἐν τῇ τῶν Πυθίων ἑορτῇ ἐγεννήθη (Πίνδαρος) ὡς αὐτός φησι· Πεντα. κτλ.* et Eustath. Prooem. 27. Respicit Plut. Sympos. Qu. VIII 1, 1: *ἧκε δὲ καὶ Πίνδαρος ἐπὶ μνήμην ἐν Πυθίοις γενόμενος, πολλῶν καὶ καλῶν ὕμνων τῷ θεῷ χορηγός.* — V. 1. *ἑορτά*, cod. Vrat. *ἑορτᾶς* (*ἑορτή* a pr. m.) — V. 2. Eust. *ἐν ᾗ πρῶτος ἐβάσθην ἀγ. ἐν σπαργάνοις.*
Fr. 176. Aristid. II 509: *οὐ γὰρ δή που καὶ Πίνδαρον φήσεις ὑπ' ἐμοῦ ταῦτα ἀναπεισθέντα ἐμβαλεῖν εἰς τὴν ποίησιν τὴν ἑαυτοῦ· ἄκουε δή καὶ ἑτέρων· Κεκρότηται . . . λόγων. Ἡράκλεις, ταυτὶ μὲν οὐδὲ παντάπασιν ἀναίτια τοῖς ῥήμασιν, ἀλλ' ὅμως καὶ ἐπὶ τούτοις σεμνύνεται, ὡς οὐδὲν ἀτιμοτέροις τοῦ νέκταρος, καί φησιν ὅτι οὗτος μέντοι ὁ τῶν λόγων κόσμος· Καὶ πολυκλ. . . . ἀγυιάς· ὥσπερ οὐκ ἀρκοῦν εἰ κατὰ ἀνθρώπων μόνον, ἀλλὰ καὶ τοὺς θεοὺς ἔτι μειζόνως τιμήσοντας δι' ἐκεῖνον τὴν τῶν Θηβαίων πόλιν εἰς τὸ λοιπόν.* Coniunxit haec in unum Boeckh, qui v. 4 *ὃς καὶ* scripsit, nisi forte quaedam omissa sunt, quod Arist. indicare videtur: conieci Fr. 129 hic inserendum esse: *Μελισσοτεύκτων κηρίων ἐμὰ γλυκερώτερος ὀμφά, ἃ καὶ κτλ.* — V. 1. Respicit Plut. de prof. in virt. c. 17: *Ἀλλ' οἵ γε προκόπτοντες, οἷς ἤδη καθάπερ ἱεροῦ τινος οἰκοδομήματος καὶ βασιλικοῦ, τοῦ βίου κεκρότηται χρυσέα κρηπίς.* et de monarch. democr. et olig. c. 1 omisso auctoris nom.: *Κεκρότηται χρ. κρ. ἱεραῖσιν ἀοιδαῖς.* Lucian. Demosth. enc. c. 11: *Παρέντι δὴ τὰς Ἀθήνας ἐκδέχεται τὸν λόγον πατὴρ τριήραρχος χρυσέα κρηπὶς κατὰ Πίνδαρον.* — *ἱεραῖσιν, ἱερῇσιν* Θ. — *ἀοιδαῖς* Θ et Plut. altero loco, vulgo *ἀοιδῇς.* — V. 2. *εἶα* scripsi, Γ *εια* et supra *οι*, vulgo *οἷα.* — *τειχίζωμεν* Γ, vulgo *τειχίζομεν.* — *ποικίλον*, fort. *ποικίλων.* — V. 4. *πολυκλειτάν περ* Γ, *πολύ κλειτάν περ* Θ, vulgo *πολύκλειτόν περ.* Dindorf *πολυκλείταν περ.* — Post *θεῶν* vocabulum excidisse putat Hartung, hinc Rauchenstein *θεῶν ἐν οὔδει* coniecit. Ceterum apparet ipsum hoc esse carminis initium. Hartung hymnum in Thebas fuisse parum recte censet.

177. [207.]

.. –́ ⏑ ⏑ – ⏑ ⏑ – . . ⏑ ⏑ – ⏑ ⏑ . .
⏑ –́ ⏑ – – . . . . .

Εὐάρματε, χρυσοχίτων, . . ἱερώτατον . .
ἄγαλμα, Θήβα. . . . .

178. [209.]

. . . ⏑ ⏑ – ⏑ – –́ ⏑ – ⏑ ⏑ –

. . . Λιπαρᾶν τε Θηβᾶν μέγαν σκόπελον.

179. [210.]

–́ ⏑ – – ⏒ – –́ . . .

Ὦ ταλαίπωροι Θῆβαι. . . .

* 180.

. . . . . – – –́ ⏑ ⏒
–́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ –
– –́ . . .

Οὔτοι με ξένον
Οὐδ' ἀδαήμονα Μοισᾶν ἐπαίδευσαν κλυταί
Θῆβαι.

Fr. 177. Schol. Pind. Pyth. IV 25: *εἰώθασι δὲ οὗτοι συμπλέκειν τὰ τῶν χωρῶν ἢ τῶν πόλεων καὶ τὰ τῶν ἡρωΐδων ὀνόματα διακοινοποιοῦντες, οἷον· Εὐάρματε χρ. ἱερώτατον ἄγ. Θ. τὸ μὲν γὰρ εὐάρματε τῆς πόλεως, τὸ δὲ χρυσοχίτων τῆς ἡρωΐδος.* Pindari esse versum ostendit Schol. Pyth. II inscript. *καταφέρεσθαι γάρ φησί πως τὸν Πίνδαρον εἰς τὸ τὰς μὲν Ἀθήνας λιπαρὰς προσαγορεύειν, τὰς δὲ Θήβας χρυσαρμάτους καὶ εὐαρμάτους καὶ λευκίππους καὶ κυανάμπυκας.* Schol. Iliad. δ 391: *ἔνθεν καὶ εὐάρμοστον (εὐάρματον) τὴν Θήβην φησὶ Πίνδαρος.* Lacunas indicavi, fort. *χώρας σ' ἱερώτατον αἰτέω*, Hartung soloece scripsit *ἱρώτατον*.

Fr. 178. Schol. Pind. Pyth. II inscript. *καὶ τὰς Θήβας δέ που εἶπε λιπαράς· λιπαρᾶν κτλ.*

Fr. 179. Thomas M. vita Pindari T. II 4 ed. Boeckh (Biographi p. 99 ed. Westerm.): *ἐχθρῶς δὲ διακειμένων τῶν Ἀθηναίων πρὸς τοὺς Θηβαίους, ἐπεὶ εἶπεν ἐν τοῖς ποιήμασιν ὦ ταλ. Θ. καὶ μεγαλοπόλιες Ἀθᾶναι.* Boeckhio fragmentum suspectum.

Fr. 180. Chrysippns, qui mihi videtur, *περὶ ἀποφατικῶν* c. 2 sine poetae nomine quater affert, sed Pindari esse vidit iam Letronne: scribitur *οὐδὲ ἀδαήμονα Μουσᾶν, Μοισᾶν* Schneidewin.

181. [211.]

⏑ ⏑ –́ ⏑ – ⏑ ⏑́⏑ ⏑ –
× – –́ ⏑ ⏑ – ⏑ – –

Μελιγαθὲς ἀμβρόσιον ὗδωρ
Τιλφώσσας ἀπὸ καλλικράνου.

182. [213.]

–́ ⏑ – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –

Ἔνθα βουλαὶ γερόντων καὶ νέων ἀνδρῶν ἀριστεύοισιν αἰχμαί,
καὶ χοροὶ καὶ Μοῖσα καὶ Ἀγλαΐα.

183. [214.]

× – –́ ⏑ – – ⏑⏑́ ⏑ – ⏑ – –́ . . . .

Οἵτ' ἀργείλοφον παρ Ζεφυρίων κολώναν . . . .

Fr. 181. Athen. II p. 41 E: *Καὶ Πίνδαρος· Μελιγ. κτλ. κρήνη δ' ἐν Βοιωτίᾳ ἡ Τιλφῶσσα.* καλλικράνου Boeckh, v. *καλλικρήνου.* Eadem Eust. Od. 1668, 7. Ceterum ex eodem hoc carmine sunt, quae affert Strabo IX 411: *Καὶ τό γε παλαιὸν οὐκ ἦν τῆς λίμνης κοινὸν ὄνομα, ἀλλὰ καθ' ἑκάστην πρὸς αὐτῇ κατοικίαν ἐκείνης ἐπώνυμος ἐλέγετο. Κωπαῒς μὲν τῶν Κωπῶν, Ἁλιάρτιος δὲ Ἁλιάρτου, καὶ οὕτως ἐπὶ τῶν ἄλλων· ὕστερον δ' ἡ πᾶσα Κωπαῒς ἐλέχθη κατ' ἐπικράτειαν· κοιλότατον γὰρ τοῦτο τὸ χωρίον. Πίνδαρος δὲ καὶ Κηφισίδα καλεῖ ταύτην· παρατίθησι γοῦν τὴν Τιλφῶσσαν κρήνην ὑπὸ τῷ Τιλφωσσίῳ ὄρει ῥέουσαν πλησίον Ἁλιάρτου καὶ Ἀλαλκομενῶν, ἐφ' ᾗ τὸ τοῦ Τειρεσίου μνῆμα· αὐτοῦ δὲ καὶ τὸ τοῦ Τιλφωσσίου Ἀπόλλωνος ἱερόν.* cf. Steph. Byz. v. *Τέλφουσα.*

Fr. 182. Plut. vit. Lycurg. c. 21 de Sparta: *Πίνδαρος δέ φησιν· ἔνθα β. γερόντων καὶ ν. ἀ. ἀριστευόντων αἰ. καὶ χ. καὶ Μοῦσαι καὶ ἀγ.* — V. 1. *βουλαὶ μὲν* coni. Boeckh, *ἀριστεύοισιν* idem scripsit, Coraes *ἀριστεύοντι*, et *ἀριστεύουσιν* Plut. an seni resp. sit. ger. c. 10 ubi v. 1 affert: *καὶ μάλιστα σώζεται πόλις, ἔνθα β. γ. κ. ν. ἀ. ἀριστεύουσιν αἰχμαί.* — V. 2. *Μοῖσα* Boeckh. et *Μοῦσα* Plutarch. ibid. c. 6: *ὅπου καὶ θέατρα καὶ πομπαὶ καὶ νεμήσεις καὶ χοροὶ κ. Μοῦσα κ. ἀγλ.* In hoc carmine fortasse Terpandri mentionem fecit, vid. fr. 250.

Fr. 183. Schol. Pind. Ol. XI 17: *τραχεῖα δὲ εἰκότως λέγοιτο* (Locrorum Epizephyriorum urbs) *λοφώδης οὖσα καὶ ἐπιθαλασσίδιος· αὐτὸς γάρ φησιν· Οἵτ'* (om. hoc W4) *ἀργ. παρ Ζεφύροιο κολ.* ubi Va2 *ἀργίλοφον πὰρ ζεφυρίῳ*, Vindob. *ἀργείλοφον πανζεφυρίου*, W4 *πανζεφύριον.* Scripsi *παρ Ζεφυρίων*, Boeckh *παρ Ζεφύριον*, Heyne *παρ Ζεφυρίου.*

184. [215.]

‒ ‒́ ⏑ ‒ ‒ ‒́ ⏑ ‒ ‒ ‒́ ⏑ ‒ ‒
‒́ ⏑ ‒ ‒ ‒́ ⏑́ ⏑ ‒ ⏑ ⏑ ⏒
⏓ ‒́ ⏑ ‒ ⏓ ‒́ ⏑ ‒ ‒ ‒́ . . . . . .

Αἰγυπτίαν Μένδητα, παρ κρημνὸν θαλάσσας,
ἔσχατον Νείλου κέρας, αἰγιβάται
ὅθι τράγοι γυναιξὶ μίσγονται . . . . .

185. [216.]

. . . . . . ‒ ‒ ‒́ ⏑ ‒ ‒ ‒́ ⏑ ‒ ‒

. . . . . . *Λευκίππων Μυκηναίων προφᾶται.*

186. [217.]

‒́ ⏑ ⏑ ‒ ‒́ ⏑ ⏑ ‒ ⏑ ‒
‒́ ⏑ ‒ ‒́ ⏑ ⏑ ‒ ‒́ ⏑ ‒ ◠́ ⏑ ‒ ⏑ ‒
⏑ ‒́ ‒́ ⏑ ⏑ ‒ ◠́ ⏑ ‒ ⏑ ‒ ‒́ ⏑ ⏑ ‒ ◠́ ⏑ ‒

Ἄνδρες τινὲς ἀκκιζόμενοι Σκύθαι
νεκρὸν ἵππον στυγέοισιν λόγῳ κτάμενον ἐν φάει·
κρυφᾷ δὲ σκολιοὺς γέννυσιν ἀνδέροισιν πόδας ἠδὲ κεφαλάς.

Fr. 184. Strabo XVII 802: *καὶ Μένδης, ὅπου τὸν Πᾶνα τιμῶσι καὶ τῶν ζώων τράγον· ὡς δὲ Πίνδαρός φησιν οἱ τράγοι ἐνταῦθα γυναιξὶ μίγνυνται· Μένδητα παρὰ κρ. κτλ.* (om. versus codd. EF.) Aristid. II 484: *αὐτίκα Πινδάρῳ πεποίηται, ὅσπερ μάλιστ' ἀληθείας ἀντέχεσθαι δοκεῖ τῶν ποιητῶν περὶ τὰς ἱστορίας, καὶ οὐ πόρρωθεν, ἀλλ' ἐξ αὐτῶν τῶν τόπων καὶ οὗτος ὁ ἔλεγχος· φησὶ γάρ· Αἰγυπτίαν Μένδητα παρὰ κρημνὸν θαλάσσας. καίτοι οὔτε κρημνός ἐστιν οὐδεὶς ἐκεῖ οὔτε θάλαττα προσηχεῖ, ἀλλ' ἐν πεδίῳ πολλῷ καὶ κεχυμένῳ κτλ.* Respicit Aelian. Hist. An. VII 19 *οὗτοι μὲν καὶ ὁμιλεῖν γυναιξί φασιν αὐτούς* (hircos) *καὶ ἔοικεν αὐτὸ θαυμάζειν Πίνδαρος.* — V. 1. *Μένδητα* cf. Prisc. VI, 60: „*Μένδης, Μένδητος*, nomen urbis est Aegyptiacae, cuius mentionem Pindarus facit.“ *παρ* Boeckh, vulgo *παρά*. *κρημνὸν* cf. Schol. Aeschyli Choeph. 362: *ἡ γνάθος συνήθης, ὡς καὶ ὁ κρημνὸς παρὰ Πινδάρῳ καὶ ἡ ἠχὼ παρὰ Σιμωνίδῃ.* — *θαλάσσας*, Str. *θαλάσσης*, — V. 2. *αἰγιβάται* Hermann, vulgo *αἰγίβοτοι*, moz *αἰγίβοτον*. — V. 3. *ὅθι*, fort. *τόθι* hoc numero: *αἰγιβάται τόθι τράγοι | γυναιξὶ μίσγονται.* Hartung haec ad hymnum in Iovem Ammonem refert.

Fr. 185. Sch. Pind. Pyth. IV 206: *εὐεπιφόρως δὲ ὁ Πίνδαρος λευκίππους καλεῖ αὐτούς* (hoc corruptum)*· λευκ. κτλ.*

Fr. 186. Zenobius V 59: *Ὁ Σκύθης τὸν ἵππον· ἐπὶ τῶν κρύφα τινὸς ἐφιεμένων, φανερῶς δὲ ἀπωθουμένων καὶ διαπτυόντων αὐτὸ εἴρηται ἡ παροιμία· μαρτυρεῖ δὲ καὶ Πίνδαρος λέγων· Ἄνδρες τινὲς ἀγαζόμενοι Σκ. ν. ἵπ. στυγέουσι λ. κτ. ἐν φασί· κρύφα δὲ σκ. γ. ἀναδέρουσι πόδας ἠδὲ κεφαλάς.* Diogenian. VII 12, Apostol. XIII 7, Arsen. 389 nihil nisi haec exhibent *Ἀτιζόμενοι* (*ἀτυζ.* Apost. Ars.) *Σκ. ν. ἵπ. λ. κρύφα δὲ σκολιοῖς γάννυσιν* (*γάννυσιν* Apost. Ars.) *ἀναδέρουσι πόδας.* Heyne correxit *ἐν φάει*, reliqua emendavit Boeckh. — V. 3. *κρυφᾷ* scripsi, legebatur *κρυφᾶ*. — *κεφαλάς*, fort. *κεφαλάν*.

187. [218.]

Καὶ λιπαρῷ Σμυρναίῳ ἄστει.

188. [221.]

– ∸ ⏑ ⏑ – ⏑ ⏑ – – ∸ ⏑ – ∸ ⏑ – – ∸ ⏑ –
∸ ⏑ – – ∸ ⏑ – – ∸ . . .

Ἀρχὰ μεγάλας ἀρετᾶς, ὦνασσ' Ἀλάθεια, μὴ πταίσῃς ἐμὰν
σύνθεσιν τραχεῖ ποτὶ ψεύδει . . .

189.

– ∸ ⏑ ⏑ – –

Οὐ ψεῦδος ἐρίξω.

190. [222.]

⏑ ⏑ ∸ ⏑ ⏑ – ⏑ – ⏑ – –

Παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνέων.

Fr. 187. Schol. Pind. Pyth. II inscript. *καὶ γὰρ καὶ ἄλλας πλείους (πόλεις) λιπαρὰς καλεῖ, ὥσπερ τὴν Σμύρναν· καὶ λιπ. Σ. ἄ. Σμυρναίων* coni. Boeckh. sed poterat a voce *ἄστει (ἄστεϊ)* novus versus inchoari. Ceterum Pindari fortasse est, quod Aristides Or. XV T. I 373 affert: *ἀπέλαυσαν δὲ* (Smyrnaei) *τῆς μητροπόλεως* (Athenas dicit) *ἀμφότερα, ἁβρότητας μὲν εἰς τὸ καθ' ἡμέραν, τολμήματα δὲ εἰς τοὺς πολέμους κρεῖττον ἢ πολλοῖς ἐρίσαι λυσιτελεῖν, ὥστε καὶ τῶν ποιητῶν ἤδη τισὶ Σμυρναῖον τρόπον τὸ τοιοῦτον εἰρῆσθαι.* Igitur *Σμυρναῖον τρόπον* dictum de iis qui fortissime pugnantes adversarios penitus afflixerunt, estque ex eodem loco haud dubie etiam petitum quod praecedit *κρεῖσσον ἢ πολλοῖς ἐρίσαι λυσιτελεῖν*, quae paululum immutavit rhetor. Similiter eodem loco cum dicit *οἱ ποιηταὶ λέγουσιν* vel *καλοῦσιν*, respicit Pind. Ol. I 38 et Pyth. III. 43.

Fr. 188. Stob. Flor. XI 3: *Πινδάρου· Ἀρχὰς μεγάλας ἀρετᾶς ἄνασσ'* (*ὤνασσ'* A Voss. Vind.) *κτλ.* Io. Philop. de mundi creat. IV 20: *ἀλλὰ καὶ Πίνδαρος τῆς ἀρετῆς ἀρχὴν εἶναί φησι τὴν ἀλήθειαν, οὕτω λέγων· Ἀρχὰς μεγάλας . . . πταίσῃς τραχεῖ ποτὶ ψεύδει.* Sed Clem. Alex. VI 781 sine poetae n. *Ἀρχὰ μεγάλας ἀρ. ἄνασσ' ἀλήθεια.* et Plut. vit. Marii c. 29: *βέβαιον ἄνδρα καὶ τὴν ἀλήθειαν ἀρχὴν μεγάλης ἀρετῆς κατὰ Πίνδαρον ἡγούμενον.*

Fr. 189. Eustath. Prooem. 21: *τὸ μέντοι ἐρίξαι ἤγουν εἰς ἔριν κινῆσαι, οἷον· οὐ ψεῦδος ἐρίξω, ἤγουν οὐ πρὸς ψεῦδος φιλονεικήσω, οὐχ οὕτως ἀσαφές.*

Fr. 190. Plut. vit. Nic. c. 1: *οὐ μὰ Δία παρὰ Λύδιον ἅ. π. οἰχνεύων* (ita Bc, vulgo *ἰχνεύων*) *ὥς φησι Πίνδαρος.* et de discr. adul. et amici c. 35 ubi *ἰχνεύων* legitur. Scripsi *οἰχνέων.* Ceterum cf. Diogenian. VI 28, Gregor. Cypr. II 99, Apostol. XII 38, Arsen. 340, Gregor. Naz. Or. XX p. 331: *εἰ καὶ πεζοὶ παρὰ Λύδιον ἅρμα ἐθέομεν τὸν ἐκείνου τρόπον καὶ δρόμον.*

191. [223.]

–́ ⏑ – – –́ ⏑ – – ⏖́ ⏑ – – –́ ⏑ – [– –́] ⏑ – ⏓

Ταρτάρου πυθμὴν πιέζει σ' ἀφανέος σφυρηλάτοις . . ἀνάγκαις.

192. [224.]

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ –́ ⏑ ⏑ –

– –́ ⏑ ⏑ – ⏑ –

Μανίαις τ' ἀλαλαῖς τ' ὀρινόμενοι
ῥιψαύχενι σὺν κλόνῳ.

193. [227.]

[–́] ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ –

Ἀτελῆ σοφίας καρπὸν δρέπειν.

194. [229.]

Plut. de cohib. ira c. 8: *Χαλεπώτατοι δὲ ἄγαν φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν* (Hartung *πολίεσσιν*) *ἄνδρες ἢ στάσιν, ἄλγος ἐμφανές, κατὰ Πίνδαρον.* ubi Schneidewin scripsit *ἄνδρες ἔστασαν ἄλ. ἐμ.*

195. [230.]

⏑ –́ ⏑ ⏑ – – –́ ⏑ ⏑ –

–́ ⏑

Κακόφρονά τ' ἀμφάνη πραπίδων
καρπόν.

Fr. 191. Plut. Consol. ad Apoll. c. 6: *ἀλλὰ Ταρτάρου πυθμὴν πιέζει σ'* (ita B, vulgo *πυθμένα πιέζεις*) *ἀφανοῦς σφυρηλάτοις ἀνάγκαις, ὥς φησι Πίνδαρος. πιέσει* Boeckh scripsit, Hermann praeterea coniecit *ἀφανής*, ego vero *πιέζει σ' ἀφανέος* scripsi, deinde autem suspicor legendum *σφυρηλάτοις δεσμοῖς ἀνάγκας.*

Fr. 192. Plut. Quaest. Symp. VII 5, 4 sine poetae n.: *οὕτως ἡμεῖς ἐν τοῖς τοιούτοις τερετίσμασι καὶ σκιρτήμασι μανίαις τ' ἀλαλαῖς τ' ὀρινόμενοι ῥ. σ. κλ.* Contra ibid. I 5, 2: *μανίαι τε ἀλαλαί τε ὀρινομένων ἐριαύχενι σὺν κλόνῳ κατὰ Πίνδαρον.* ubi scrib. *μανίᾳ τ' ἀλαλᾷ τ' ὀρινομένων*, quae suae accommodavit orationi. Denique de def. orac. c. 14: *μανίαι τε ἄλλαι τε ὀρινόμεναι ῥ. σ. κλ.* legitur. Videntur versus ad libros *Ὑπορχημάτων* pertinere, ut Boeckh quoque suspicatur.

Fr. 193. Stob. Flor. LXXX 4: *Πινδάρου· Τοὺς φυσιολογοῦντας ἔφη Πίνδαρος· ἀτελῆ κτλ.* Cf. Eust. Prooem. 33. Pindari Apophth. T. II p. 10 ed. Boeckh, neque tamen dubitandum, quin hoc ex carmine aliquo petitum sit. Respicit etiam Plato Republ. V p. 457 B.

Fr. 195. Plut. de sera Num. vind. c. 19: *ἄχρις ἂν ἐκχυθεῖσα* (*κακία*) *τοῖς πάθεσιν ἐμφανὴς γένηται, κακόφρονά τ' ἀμφάνη* (sic Ruhnken, v.

196. [231.]

Plut. de cap. ex host. utll. c. 10: *Καὶ πᾶσα φύσις ἀνθρώπου φέρει φιλονεικίαν καὶ ζηλοτυπίαν καὶ φθόνον κενεοφρόνων ἑταῖρον* (ita Xylander, *ἑταίραν* B, vulgo *ἑταίρων*) *ἀνδρῶν ὥς φησι Πίνδαρος.*

197. [232.]

⏑ ⏑ ⏑́ ⏑ – –́ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏓
⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ –

Πότερον δίκᾳ τεῖχος ὕψιον
ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει
ἐπιχθόνιον γένος ἀνδρῶν,
δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν.

198. [233.]

⏑ –́ ⏑ – –́ ⏑ – ⏑. –́ ⏑ – –́ ⏑ – ⏑ – ⏑ ⏓
–́ ⏑ – ⏑ – ⏑ – –́ ⏑ – ⏑ – – –́ ⏑ – ⏒

τὸν ἀμφανῆ, Ven. *τ' ἐκφανεῖ*), *πρ. κ. ὥς φησι Πίνδαρος.* Hartung *κακοφρόνα* i. e. *κακοφροσύνα.*

Fr. 197. Plato de Republ. II 365 B (loco, ubi etiam alia si non ex Pindaro, certe ex poetis petita sunt, ut *θεσπέσιος βίος*, *κύριον* (*ἄκρον*) *εὐδαιμονίας*.): *λέγοι γὰρ ἂν ἐκ τῶν εἰκότων πρὸς αὑτὸν κατὰ Πίνδαρον ἐκεῖνο τὸ Πότερον δίκᾳ* (codd. plerique *δίκαι*, Vind. D *δεῖ καί*, Vind. F *δὴ καί*, Ang. B Flor. RT *δίκαις*, Lob. Vind. B. Vat. M. *δίκαιον*, vulgo *δίκᾳ* ut Vat. B Ven. B Flor. B) *τ. ὕψιον* (*ὑψηλὸν* Vind. F Ang. B Flor. ACR). *ἢ σκολιαῖς ἀπάταις* (ita codd. plerique, vulgo *σκολιᾶς ἀπάτας*, quod exhibent Vat. B Ven. B Flor. B, *σκολιᾶς ἀπάταις* Ang. B a m. pr.) *ἀναβάς, καὶ ἐμαυτὸν οὕτω περιφράξας διαβιῶ.* Plenius extat apud Maxim. Tyr. XVIII init.: *Π. δίκᾳ* (cod. Reg. *δίκα*, vulgo *δίκας*) *τ. ὑ. ἢ σκολιαῖς ἀπάταις* (vulgo *σκολιᾶς ἀπάτας*) *ἀναβαίνει ἐπιχθόνιον γ. ἀνθρώπων δίχα μοι ν. ἀτρέκειαν* (cod. Reg. *ἀτρεκίαν*) *εἰπεῖν.* Atticus Platonic. ap. Euseb. Praep. Ev. XV 797 D: *εἴγε μὴ μέλλοιμεν ἀγνοεῖν, πότερον δίκᾳ τεῖχος* (vulgo *δὴ κατ' ἴχνος*, cod Scor. *δεῖ κατ' ἴχνος ἴψιον*) *ὕψιον ἢ σκολιαῖς ἀπάταις ἀναβαίνει ἐπιχθονίων γένος ἀνδρῶν.* Cicero ad Attic. XIII 38: „Nunc me iuva, mi Attice, consilio, *πότερον δίκας τ. ὑ.* id est aperte hominem asperner et respuam, *ἢ σκολιαῖς ἀπάταις* (sic XZR, et similiter rursus lib. XIII 41, sed M *σκολιᾶς ἀπάτας*), ut enim Pindaro, sic *δίχα μοι νόος ἀτρέκειαν εἰπεῖν.*" V. 4. utitur sine auctoris nomine Dionys. Halic. de comp. verb. c. 21. Hartung haec ita constituit: *πότερον δίκας τεῖχος ὕψιον, ἢ σκολιᾶς ἀπάτας, ἀναβαίνειν ἐπ' ἐπιχθόνιον κτλ.*

Fr. 198. Plato de Rep. I 331 A: *τῷ δὲ μηδὲν ἑαυτῷ ἄδικον ξυνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι καὶ ἀγαθὴ γηροτρόφος, ὥς καὶ Πίνδαρος λέγει· χαριέντως γάρ τοι, ὦ Σώκρατες, τοῦτ' ἐκεῖνος εἶπεν, ὅτι ὃς ἂν δικαίως καὶ ὁσίως τὸν βίον διαγάγῃ, γλυκεῖά οἱ ἀτάλλοισα* (*ἀττάλοισα* Par. BK Flor. B, *ἀτάλλουσα* Vind. F Ang. B Flor. ACR) *γηρ. συναορεῖ* (*ξυναορεῖ* Vind. B, *ξυναγορεῖ* Vind. E) *ἐλπίς, ἃ μ. θνατῶν π. γ. κυβερνᾷ*

Γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος συναορεῖ
ἐλπίς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ.

199.

–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –

Ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται.

200. [152.]

–́ ⏑ – – –́ ⏑ – –́ ⏑ ⏑ – – –́ ⏑ –
⏑́ –́ ⏑ . . . .

Ἄλλο δ' ἄλλοισιν νόμισμα, σφετέραν δ' αἰνεῖ δίκαν ἕκαστος.

201. [235.]

⏒ –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ́ – –

Σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς.

(*κυβερνᾶν* Ven. C) quae exscripsit Stob. Flor. XCIV 22. Exhibent etiam Syncsius de insomn. 147 A: *ὥστε ἣν ὕμνησε τὴν ἐλπίδα ὁ Πίνδαρος, περὶ ἀνδρὸς λέγων εὐδαίμονος, ὅτι ἄρα αὐτῷ γλυκεῖα καρδίαν ἀτάλλοισα κουροτρόφος συναορεῖ . . . κυβερνᾷ φαίη τις ἂν οὐ περὶ τῆς ὕπαρ λέγεσθαι, τῆς ἀπατηλῆς, ἣν ἡμεῖς ἑαυτοῖς διαπλάττομεν, ἀλλ' ὅλον τοῦτο μικροῦ μέρους ἐνυπνίων ἔπαινος εἴρηται τῷ Πινδάρῳ* et Nicephorus in Scholiis ad Syn. 408, qui coniectnra ad Nemea retulit (*ζήτει ἐν τοῖς ἀγῶσι τῶν Νεμέων*, ita cod. Rhedig.), qui ex Platone lectionem *γηροτρόφος* memorat, et Iustinns Coh. ad Gent. p. 26. Respiciunt huc Plut. de animi tranq. c. 19, de fraterno am. c. 5, Themist. VIII 101 B, Theodor. Metoch. p. 350 (ubi *ξυναορεῖ*) et 659, Nicephor. Greg. VIII 8 (ubi non male *τὰν πολυστρ.*) Choricius p. 35 ed. Boissou. Olymp. in Alcib. I p. 23 Apostol. V 52a.

Fr. 199. Eust. prooem. 21: *Μάλιστα δὲ ἄτριπτον εἰς συνήθη γνῶσιν τὸ ἁρμῷ, ἤγουν ἄρτι, ὃ παρ' ἑτέροις ἁρμοῖ λέγεται . . . Ἐλπίσιν κτλ.*

Fr. 200. Cram. An. Par. III 154, 13: *Καὶ Πίνδαρος· ἄλλο δ' . . . αἰνεῖ δ. ἕκ. τὸ γὰρ θεῖον φύσει μὲν ἕν, θέσει δὲ πολύ.* Matranga An. 475. *ἄλλοι δ' ἄλλοισι νόμιμα κτλ.* Respicit Artemidor Oneir. IV 2: *ἄλλα δὲ ἄλλοις νόμιμα, σφέτερα δέδεικται ἑκάστοις, φησὶν ὁ Πίνδαρος.* unde Schneider *δὲ κεῖται* coniecit. — V. 1. *αἰνεῖ*, Schneidewin *αἰνέσει*. Videtur scribendum *σφετέραν δὲ δίκαν ἕκαστος αἰνεῖ*, ut omnia uno versu comprehendantur.

Fr. 201. Plut. consol. ad Apoll. c. 28: *ὁ δὲ Πίνδαρος, σοφοὶ δέ, φησίν, καὶ τὸ μηδὲν κτλ.* Scholiast. Eurip. Hipp. 263: *μάρτυρες ἔσονται οἱ σοφοί, εἴπερ ἑνὸς τῶν ἑπτὰ σοφῶν ἐστιν ἀπόφθεγμα τὸ μηδὲν ἄγαν, ὅ περ Χίλωνι ἀνατιθέασιν ὡς Κριτίας καὶ Πίνδαρος· Σοφοὶ . . . ᾔνησαν περ.* et Hephaestio 91 omisso auctoris nomine, sed ut exemplum metri Pindarici. Ceterum Hartung *αἴνεσαν* flagitat.

202. [237.]

⏖ ⏑ –́ ⏑ ⏑ – ⏑ – ⏑ –́ ⏑ ⏓

Γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος.

203. [239.]

–́ ⏑ – –́ –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏓
* * * * * * * *
. . . . . ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – ⏓

Ἀνίκ' ἀνθρώπων καματώδεες οἴχονται μέριμναι
στηθέων ἔξω, πελάγει δ' ἐν πολυχρύσοιο πλούτου
πάντες ἴσα πλέομεν ψευδῆ πρὸς ἀκτάν·
ὃς μὲν ἀχρήμων, ἀφνεὸς τότε, τοὶ δ' αὖ πλουτέοντες
* * * * * * * *
. . . . . ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες.

204. [240.]

. . . – – –́ ⏑ – – –́ . . .

Οἳ δ' ἄφνει πεποίθασιν.

Fr. 202. Clem. Alex. Paedag. III 295: *Ἐντεῦθεν ὠφελημένος ὁ Βοιώτιος Πίνδαρος· Γλυκύ τι, φησί, κλεπ. μ. Κ.*

Fr. 203. Athen. XI 782 D: *Αὔξει γὰρ καὶ τρέφει μεγαλύνει τε τὴν ψυχὴν ἡ ἐν τοῖς πότοις διατριβὴ ἀναζωπυροῦσα καὶ ἀνεγείρουσα μετὰ φρονήσεως τὸν ἑκάστου νοῦν, ὥς φησιν ὁ Πίνδαρος· Ἀνίκ' . . . πλουτέοντες, εἶτ' ἐπάγει· ἀέξονται κτλ.* — V. 2. *ἔξω* et *πολυχρύσοιο* Mitscherlich, vulgo *ἔξωθεν* et *πολυχρύσου*. — V. 3. *ἴσα πλέομεν* scripsi, vulgo *ἴσα νέομεν*, Hermann *ἴσᾳ νέομεν*, sed *ἴσᾳ* Pindarum adverbii loco adhibere, non est verisimile. Ceterum *ψευδὴς* hoc uno loco apud Pindarum legitur, sed dixit *ψεῦδις* et *ἀψευδής*. — V. 4. *ἀφνεὸς* Hermann, v. *ἀφνειός*. — V. 5. affert Eustath. 1367, 30, ubi *τόξοισι*. Putavi autem aliquando haec addito fr. 199 sic posse redintegrari

τοὶ δ' αὖ πλουτέοντες
ἐλπίσιν ἀθανάταις ἁρμῷ φέρονται,
εὖτ' ἀέξονται φρένας ἀμπελίνοις τόξοις δαμέντες.

Sunt haec haud dubie ad Scolia referenda: cf. quae ad fr. 101 adnotata sunt.

Fr. 204. Et. M. 178, 10: *παρὰ τὸ ἄφενος γίνεται ἄφνος, ᾧ κέχρηται Πίνδαρος· οἱ* (D *οἳ*) *δ' ἄφ. πεποίθασιν.* sed V *ὃ δ' ἄφνει πέποιθεν.*

205. [241.]

. . . –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏒
– –́ ⏑ – – –́ [⏑ –] – –́ ⏑ – –
– –́ ⏑ – –́ ⏑ – ⏒

. . . . τῶνδε γὰρ οὔτε τι μεμπτόν
οὔτ' ὦν μεταλλακτὸν . . ὅσσ' ἀγλαὰ χθών
πόντου τε ῥιπαὶ φέροισιν.

206. [242.]

[–́ ⏑] ⏑ – ⏑ ⏑ – –́ ⏑ – – –́ ⏑ – –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏑ ⏑ – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ . . . .

'Αελλοπόδων μέν τιν' εὐφραίνοισιν ἵππων
τίμια καὶ στέφανοι, τοὺς δ' ἐν πολυχρύσοις θαλάμοις βιοτά·
τέρπεται δὲ καί τις ἐπ' οἶδμ' ἅλιον ναῒ θοᾷ
σῶς διαστείβων . . . .

207. [243.]

. . . ⏑ – –́ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ – –́ –
–́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ –

. . . Διὸς παῖς ὁ χρυσός·
κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει,
δάμναται δὲ βροτέαν φρένα κάρτιστον κτεάνων.

Fr. 205. Plut. Quaest. Symp. VII 5, 3: τῶνδε γὰρ οὔτε τι μεμπτὸν οὔτε (vett. edd. οὐ τῶν) μεταλλακτόν (edd. vett. μεταλλάττων, cod. Pal. οὔτε μεταλλ. om., Dübner edidit οὔτ' ὦν μεταλλάττον), ὡς Πίνδαρος ἔφη, τῶν ἐπὶ ταῖς τραπέζαις, ὅσ' ἀγλαὰ χθὼν (Wyttenbach ed. ὡς ἀγλαόχθων) πόντου τε ῥιπαὶ φέρουσιν, ἄρτι παρακειμένων. Composuit Boeckh. — V. 2 fortasse scribendum: τραπέζαισιν ὅσσ'.

Fr. 206. Sextus Empir. Hypoth. Pyrrh. I 20 ed. Bekker ὁ μὲν γὰρ Πίνδαρός φησιν· ἀελλοπόδων κτλ. — V. 1. εὐφραίνοισιν Boeckh, v. εὐφραίνουσιν. — V. 2. τίμια Boeckh, v. τιμαί. — V. 3. τέρπεται δὲ, Boeckh coni. τέρπεται δ' αὖ. — οἶδμ' Boeckh, v. οἶδμα.

Fr. 207. Schol. Pind. Pyth. IV 408: ἄφθιτον δὲ αὐτὸ εἶπε, καθὸ χρυσοῦν ἦν· ὁ δὲ χρυσὸς ἄφθαρτος· καὶ ἡ Σαπφώ, ὅτι Διὸς παῖς κτλ. sed Schneider et Boeckh viderunt excidisse Sapphus fragmentum Pindarique haec esse collato Proclo ad Hesiod. Opp. et D. 428: τοῦτο καὶ Πίνδαρον οὕτω καλεῖν περὶ τοῦ χρυσοῦ λέγοντα· κεῖνον οὐ σῆς οὐ κὶς δάμναται, ὡς ἄσηπτον, Deinde Sch. κὶς δάπτει, βροτέαν, inde Valckenaer vidit recipiendum esse utrumque verbum δάπτει, δάμναται δέ. — V. 3. κάρτιστον Boeckh, vulgo κράτιστον. — κτεάνων Boeckh, vulgo φρενῶν.

208. [244.]

–́ ⏑ – – –́ ⏑ ⏑ – – –́ ⏑ –
–́ ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏑ –
⏒ ⏑ –́ ⏑ ⏑ – . . . . .

Καὶ φέρονταί πως ὑπὸ δούλειον τύχαν
αἰχμάλωτοι, καὶ χρυσέων βελέων
ἐντὶ τραυματίαι . . . .

209. [246.]

⏑ –́ –́ ⏑ ⏑ – ⏖ ⏑ – ⏑ ⏓
⏑ ⏑ –́ –́ . . . . . .

Ἴσον μὲν θεὸν ἄνδρα τε φίλον (*θεῷ*)
ὑποτρέσσαι . . . . .

210. [247.]

. . . ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ ⏑ – –
⏑ –́ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – ⏒ . .

. . . *Ὁπόταν θεὸς ἀνδρὶ χάρμα πέμψῃ,*
πάρος μέλαιναν κραδίαν ἐστυφέλιξεν. . .

211. [248.]

–́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ –́ . . . .

Οὔτις ἑκὼν κακὸν εὕρετο.

Fr. 208. Theodor. Metoch. 562: *Καὶ φέρονται κτλ. Πίνδαρός φησιν.* — V. 1. *τύχαν* Boeckh, v. *τύχην*. — V. 3. *ἐντὶ*, cod. Mon. *ἐν τῷ*.

Fr. 209. Schol. Hom. Il. ρ 98: *ὁ γὰρ φωτὶ μαχόμενος τῷ ὑπὸ θεῶν τιμωμένῳ ἢ ὑπὸ θεῶν ἀγαπωμένῳ, αὐτῷ τῷ θεῷ μάχεται τῷ ἐκεῖνον στέργοντι· ὁ Πίνδαρος ἴσον . . . φίλον ὑποτρέσσαι* (Bekker *ὑποτρέσαι*) *ἐκέλευσεν, ἐπίσης τὸν θεὸν καὶ τὸν φίλον θεῷ ἄνδρα θεοφιλῆ.* — V. 1. *θεῷ* recte addidit Heynius.

Fr. 210. Schol. Pind. Ol. II 40: *πρὸ τῶν ἀγαθῶν τοῖς ἀνθρώποις γὰρ τὰ κακά, ὅπερ καὶ ἐν ἑτέρῳ φησίν· ὁπότε κτλ.* — V. 1. *ὁπόταν* schol. Vindob., vulgo *ὁπότε*. — V. 2. *πάρος* Nauck, *πρόσθε* Boeckh, vulgo *πρός*, quod tuetur Mommsen. — *κραδίαν* schol. Vind., v. *καρδίαν*. Deinde poeta videtur scripsisse *ἐστυφέλιξε πένθει*.

Fr. 211. Aristid. II 547: *Ἀλλὰ Πλάτων καὶ Πίνδαρος πολλαχῇ μὲν καὶ ἄλλῃ σοφοί, καὶ δὴ καὶ κατὰ τόνδε τὸν λόγον οὐχ ἥκιστα, ὁ μὲν οὑτωσὶ λέγων· οὔτις κτλ.*

212. [250.]

[–́ ⏑] ⏑ – ⏑ ⏑ – – –́ ⏑ – – –́ ⏑ ⏑ –
–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
–́ ⏑ ⏑ – ⏑ ⏑ – – [–́] . . . . .

. . Νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι
δόξαν εὑρίσκοντι· λάμπει δὲ χρόνῳ
ἔργα μετ' αἰθέρ' ἀερθέντα . . .

213. [252.]

. . . ⏑́⏑ ⏑ – ⏑ – –
⏑́⏑ ⏑ ⏖ –́ ⏑ – ⏑́⏑ ⏑ – ⏑ –

. . . . Τιθεμένων ἀγώνων
πρόφασις ἀρετὰν ἐς αἰπὺν ἔβαλε σκότον.

214. [253.]

– –́ ⏑ – ⏒ –́ ⏑ ⏑ – ⏒ –́ ⏑ – ⏒
–́ ⏑ – ⏒ –́ ⏑ ⏑ – –

Νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται
οὐ φίλων ἐναντίον ἐλθεῖν.

215. [254.]

. . . ⏑ ⏑ – – –́ ⏑ – – –́ . . .

Ἐπὶ λεπτῷ δενδρέῳ βαίνειν.

Fr. 212. Clem. Alex. Str. IV 586: *Καὶ ὁ Πίνδαρος· Νέων δὲ κτλ.* — V. 1. *εἱλισσόμεναι* et V. 2 *εὑρίσκοντι* Boeckh, v. *ἑλισσόμεναι* et *εὑρίσκουσι.* — V. 3. *ἀερθέντα* Boeckh, v. *λαμπευθέντα*, Schneider *λαμπρευθέντα* (debebat *λαμπρυνθέντα*), Buttmann *ἀναμπρευθέντα.*

Fr. 213. Plut. an seni sit ger. respubl. c. 1: *Ὅτι μέν, ὦ Εὔφανες, ἐπαινέτης ὢν Πινδάρου, πολλάκις ἔχεις διὰ στόματος ὡς εἰρημένον εὖ καὶ πιθανῶς ὑπ' αὐτοῦ· τιθεμένων κτλ.* Eadem leguntur de sollert. animal. c. 23.

Fr. 214. Schol. Pind. Olymp. XIII 92: *καὶ ἀλλαχοῦ· Νικώμενοι κτλ.* — V. 1. affert idem ad Pyth. IX 160: *Νικ. δὲ ἀγρ. δέδενται*, integrum autem versum Plut. de cap. ex inim. util. c. 4.

Fr. 215. Liban. Epist. CXLIV: *Μηδ' οὕτως οἷον τὰ ἡμέτερα κατὰ Πίνδαρον ἐπὶ λ. δένδρῳ β., ἀλκά τι καὶ ἀδάμαντος μετέχειν. δενδρέῳ* Boeckh.

216. [255.]

– –́ ⏑ –́ ⏑ ⏑ – –́ ⏑ ⏑ – –́ ⏑ ⏓
⏑ ⏑ –́ ⏑ . . . .

Τόλμα τέ μιν ζαμενὴς καὶ σύνεσις πρόσκοπος
ἐσάωσεν.

217. [256.]

– –́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ – –
–́ ⏑ . . . .

Σχήσει τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδάρεον
τεῖχος.

218. [257.]

⏑ –́ ⏑ – – –́ ⏑ . .

Πιστὸν δ' ἀπίστοις οὐδέν.

219. [258.]

. . . . ⏑ – ⏑ ⏑ – ⏒
–́ ⏑ – – –́ ⏑ ⏑ – –́ ⏑ – ⏒ –́ ⏑ – ⏒
⏒ –́ ⏑ – – –́ ⏑ ⏑ –̀ ⏑ ⏑ – – –́ ⏑ – – –́ . .

Ὑφ' ἅρμασιν ἵππος,
ἐν δ' ἀρότρῳ βοῦς· παρὰ ναῦν δ' ἰθύει τάχιστα δελφίς
κάπρῳ δὲ βουλεύοντα φόνον κύνα χρὴ τλάθυμον ἐξευ-
ρεῖν . .

Fr. 216. Schol. Pind. Nem. VII 87: *Ὅλως ἀποδέχεται ὁ Πίνδαρος τὴν μετὰ συνέσεως τόλμαν· Τόλμα κτλ.* Fort. Pindarus *τόλμα* ultima correpta adhibuit.

Fr. 217. Plut. vit. Marcell. c. 29: *ἀλλὰ γὰρ τὸ πεπρ. οὐ πῦρ, οὐ σιδαροῦν* (BM *σιδηροῦν*) *σχήσει τεῖχος, κατὰ Πίνδαρον.* Correxit Boeckh, Hartung *οὐδὲ σιδάρεον.*

Fr. 218. Clem. Alex. Paedag. III 307: *Π. δὲ ἀ. οὐδὲν κατὰ Πίνδαρον.*

Fr. 219. Plutarch. de virt. mor. c. 12: *ὑφ' ἅρμασι γὰρ ἵππος, ὥς φησι Πίνδαρος, ἐν δ' ἀρότρῳ βοῦς, Κάπρῳ δὲ κτλ.* Auctius affert sine poetae nom. de tranquill. anim. c. 14. — V. 1. *ὑφ'*, altero loco *ἐν.* — V. 3. *βουλεύοντα* priore loco B Ven. 3 et altero loco C, *βουλεύοντι* reliqui.

220. [259.]

⏑ ⏑ –́ ⏑ ⏑ – ⏑ – – –́ ⏑ ⏑ – ⏑ ⏓
–́ ⏑ ⏑ – ⏑ ⏑ – – –́ ⏑ ⏑ –
– –́ ⏑ – –́ ⏑ ⏑ – ⏑ ⏒

Ἀλίου δ' ἐρεθίζομαι δελφῖνος ὑπόκρισιν·
τὸν μὲν ἀκύμονος ἐν πόντου πελάγει
αὐλῶν ἐκίνησ' ἐρατὸν μέλος.

221. [260.]

⏑ –́ ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –

Φιλάνορα δ' οὐκ ἔλιπον βιοτάν.

222. [261.]

⏑ –́ ⏑ ⏑ – –́ ⏑ – –
⏑ –́ ⏑ – – –́ ⏑ –

Ὄπισθε δὲ κεῖμαι θρασειᾶν
ἀλωπέκων ξανθὸς λέων.

223. [262.]

–́ ⏑ – – –́ ⏑ – – –́ ⏑ –
⏑ –́ –́ ⏑ . . . .

Ἔνθα καὶ ποῖμναι κτιλεύονται κάπρων
λεόντων τε. . . . . .

224. [265.]

. . . ⏑ ⏑ – ⏑ – – –́ ⏑ ⏑ – ⏑ – –

Ἰαχεῖ βαρυφθεγκτᾶν ἀγέλαι λεόντων.

Fr. 220. Plut. Sympos. Quaest. VII 5, 2: *Ὁ δὲ Πίνδαρός φησι κεκινῆσθαι πρὸς ᾠδὴν ἀλίου δελφ. κτλ.* Idem de Sollert. Anim. c. 36: *ᾧ (δελφῖνι) καὶ Πίνδαρος ἀπεικάζων ἑαυτὸν ἐρεθίζεσθαί φησιν, οὐ δελφῖνος ἀπόκρισιν, τὸν μ. ἀ. ἐκ πόντου π. αὐ. ἐκίνησεν ἐ. μ.* — unde *δ' ἐρεθίζομαι* revocavi. Hi versus fortasse ex libris *Ὑπορχημάτων* petiti.

Fr. 221. Schol. ad Hom. Od. κ 240: *φιλάνορα . . . (δελφῖνες) κατὰ τὸν Πίνδαρον.* Cf. Eust. 1657, 13.

Fr. 222. Aristid. II. 509: *Πάλιν τοίνυν πρός τινα τῶν ἀκροατῶν, ἐπειδὴ νυστάζοντα ἑώρα καὶ οὐκ εἰδότα, ὅτῳ σύνεστιν, οὑτωσὶ πεποίηκε· ὄπισθεν δὲ κ. θαρσειὰν κτλ. ὄπισθε* Boeckh. *θρασειᾶν ΓΘ.*

Fr. 223. Schol. Pind. Pyth. II 31: *καὶ αὐτὸς γὰρ ὁ Πίνδαρος τὸ τιθασσεύεσθαι καὶ κτιλεύεσθαι λέγει· ἔνθα ποιμένες κτλ.* sed cod. Gott. *ἔνθα αἱ ποίμναι,* hinc Boeckh correxit.

Fr. 224. Herodian. *περὶ σχημ.* 60, 13: *Πινδαρικὸν δὲ τὰ τοῖς πληθυντικοῖς ὀνόμασιν ἑνικὰ ῥήματα ἔχοντα ἐπιφοράν, οἷον ἄνδρες ἐπὶ πόλεως* (sic A, vulgo *ὑπὲρ πόλεων* vid. fr. 56) *καὶ ἰαχεῖ βαρύφθεγκτ'*

225. [269.]

. . ⏑ ⏑ ⏒́ ⏑ ⏑ –

Μὴ σιγᾷ βρεχέσθω

226. [280.]

⏑ ⏑ ⏒́ ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ –

Ποτίκολλον ἅτε ξύλον παρὰ ξύλῳ.

227.

– ⏒́ ⏑ ⏑ – ⏑ ⏑ –

Ἁ μὲν πόλις Αἰακιδᾶν.

228.

. . . . . . – ⏒́ ⏑ –
⏒́ ⏑ – – ⏒́ ⏑ ⏑ – ⏒́ ⏑ – – ⏒́ ⏑ . .

. . . . . . *Φὰν δ' ἔμμεναι*
Ζηνὸς υἱοὶ καὶ κλυτοπώλου Ποσειδάωνος.

229.

Πρόφασις βληχροῦ γίνεται νείκεος.

ἂν ἀγέλαι (sic A, ἂν ἀγέλαν B, vulgo ἀναγγεῖλαι) λεόντων. correxit Fiorillo.

Fr. 225. Schol. Pind. Ol. XI 58: τὸ βρέχετο ἀντὶ τοῦ κατεσιωπᾶτό φησι· συνήθως γὰρ τὸ βρέχεσθαι ἐπὶ τοῦ σιωπᾶσθαι τίθησι· καὶ ἀλλαχοῦ κεῖται· *Μησὶ γὰρ βρ.* corr. Boeckh.

Fr. 226. Athen. VI 248 C: ἀλλὰ μὴν καὶ αὐτός, ἔφη, τὸ ποτίκολλον κτλ. ὡς ὁ Θηβαῖος εἴρηκε ποιητής, περὶ κολάκων ἐρῶ τι. ποτίκολλον ABPV, ποτικολλῶν L et Basil. Idem I 24 B: ποτίκολλον (L ποτικολλῶν) . . . ξύλῳ φησὶν ὁ Θηβαῖος μελοποιός.

Fr. 227. Schol. Arist. Pac. 251: ὅτι πόλιν εἶπε τὴν Σικελίαν νῆσον οὖσαν . . . καὶ *Πίνδαρος δὲ περὶ τῆς Αἰγίνης· ἁ μ. πόλις* (Ven. πολλάκις) *Αἰακ.*

Fr. 228. Herodian. περὶ σχημ. 59, 29: καὶ τὸ παρὰ *Πινδάρῳ ἐπί τε τοῦ Πειρίθου καὶ τοῦ Θησέως λεγόμενον· φὰν δ'* κτλ. Pro φὰν A φαμέν. — υἱοὶ CD, υἱὸς B, υἱὸν A. — καί, ἢ CD. — *Ποσειδάωνος, Ποσειδάονος* A. Eadem Moschopul. 83 et Tryphon in Mus. Cantabrig. I 56. Ad hoc carmen fort. pertinet fr. 242.

Fr. 229. Cram. An. Ox. I 95, 5: *Πίνδαρος μὲν βληχρὸν τὸ ἰσχυρόν· πρόφασις* (cod. πρόφασιν) *βληχροῦ γ. ν.* Respicit Et. M. 200, 13: βληχρὸν . . . *Πίνδαρος δὲ ἐπὶ τοῦ ἰσχυροῦ αὐτὸ λέγει.* Zonar. 193, 391. Suid. v. βληχρόν, Eust. Il. 589, 46.

* 230. [286.]

Μελιρρόθων δ' ἕπεται πλόκαμοι.

231. [123.]

Etym. M. 277, 39: *Διόνυσος· ... οἱ δὲ ἀπὸ τοῦ Διὸς καὶ τῆς Νύσης τοῦ ὄρους ὠνομάσθαι, ἐπεὶ ἐν τούτῳ ἐγεννήθη, ὡς Πίνδαρος, καὶ ἀνετράφη.*

232. [124.]

Plutarch. de adul. et amic. c. 27: *εὐδίᾳ γὰρ ἐπάγει νέφος ὁ κινῶν ἐν παιδιᾷ καὶ φιλοφροσύνῃ λόγον ὀφρὺν ἀνασπῶντα καὶ συνιστάντα τὸ πρόσωπον, ὥσπερ ἀντιτατττόμενον τῷ Λυσίῳ θεῷ, λύοντι τὸ τῶν δυσφόρων σχοινίον μεριμνῶν κατὰ Πίνδαρον.* ubi Dübner ed. [*καὶ*] *μεριμνῶν.* Nauck coniecit *δυσφρόνων σκύνιον μεριμνᾶν.*

233. [153. 130. 131.]

Schol. Il. φ 194: *Ἡρακλῆς εἰς ᾅδου κατελθὼν ἐπὶ τὸν Κέρβερον συνέτυχε Μελεάγρῳ τῷ Οἰνέως, οὗ καὶ δεηθέντος γῆμαι τὴν ἀδελφὴν Δηϊάνειραν, ἐπανελθὼν εἰς φῶς ἔσπευσεν εἰς Αἰτωλίαν πρὸς Οἰνέα, καταλαβὼν δὲ μνηστευόμενον τὴν κόρην Ἀχελῷον τὸν πλησίον ποταμόν, διεπάλαισεν αὐτῷ ταύρου μορφὴν ἔχοντι· οὗ καὶ ἀποσπάσας τὸ ἕτερον τῶν κεράτων ἔλαβε τὴν παρθένον. φασὶ δὲ αὐτὸν Ἀχελῷον παρὰ Ἀμαλθείας τῆς Ὠκεανοῦ κέρας λαβόντα δοῦναι τῷ Ἡρακλεῖ καὶ τὸ ἴδιον ἀπολαβεῖν. ... ἡ ἱστορία παρὰ Πινδάρῳ.* Ad eundem locum haud dubie pertinet Schol. Il. θ 368: *Πίνδαρος γοῦν ἑκατόν, Ἡσίοδος δὲ πεντήκοντα ἔχειν αὐτὸν (Κέρβερον) κεφαλάς φησιν.* — Conferas praeterea Tertullian. de cor. mil. c. 7: „Hercules nunc populum capite praefert, nunc oleastrum, nunc apium. Habes tragoediam Cerberi, habes Pindarum atque Callimachum, qui et Apollinem memorat interfecto Delphico dracone lauream induisse qua supplicem."

Fr. 230. Lesbonax de fig. 184 ed. Valck: *ἔστι δὲ καὶ ἄλλο σχῆμα ἀπὸ Βοιωτίας, ὃ δὴ καὶ Πινδαρικὸν λέγεται, ὅτι πολλάκις αὐτῷ κέχρηται· γίνεται δὲ οὕτως· Λακεδαιμόνιοι πολεμεῖ Ἀθηναίοις, μελιρρόθων δ' ἕπεται πλόκαμοι ἀντὶ τοῦ ἕπονται* (cod. *ἕπεται*), *διήγεται σάρκες ἀντὶ τοῦ διήγονται. Ὅμηρος· καὶ δὴ δοῦρα σέσηπε νεῶν κτλ.* Et medium quidem exemplum certissime Pindari est, ubi Boeckh *μελιρρόθων δ' ἀνθέων ἕπ. πλ.* scripsit, Hartung *μελιρρόων*, videtur *παλιρρόθιον δ' ἕπεται πλόκαμοι* legendum: fortasse etiam tertium huc pertinet, quod affert etiam schol. Philostrati p. 193 ed. Kayser: *Πινδαρικὸν (σχῆμα) ... οἷον· Λακεδ. πολ. Ἀθ. καὶ Ὅμηρος. διοίγετο δὲ σάρκες ἀντὶ τοῦ διοίγοντο.* Fort. *διοίχετο σάρκες.*

234. [135.]

Pausan. V 14, 6: *Μετὰ δὲ τοὺς κατειλεγμένους Ἀλφειῷ καὶ Ἀρτέμιδι θύουσιν (Ἠλεῖοι) ἐπὶ ἑνὸς βωμοῦ. τὸ δὲ αἴτιον τούτων παρεδήλωσε μέν που καὶ Πίνδαρος ἐν ᾠδῇ, γράφομεν δὲ καὶ ἡμεῖς ἐν τοῖς λόγοις τοῖς Λετριναίοις.*

235. [139.]

Serv. Virg. Georg. I 14: „Huic opinioni (*Aristaeum Thebis relictis se primum Ceam, tum in Sardiniam contulisse*) Pindarus refragatur, qui eum ait de Cea insula in Arcadiam migrasse, ibique vitam coluisse. Nam apud Arcades pro Iove colitur, quod primus ostenderit, qualiter apes debeant reparari." Nisi forte haec ex commentariis ad Pyth. IX 64 petita sunt.

236. [145.]

Plut. Quaest. Nat. c. 36, ubi quaerit cur apes citius pungant, qui stuprum dudum fecerint, ex versione Longolii: „*Et Pindarus: Parvula favorum fabricatrix, quae Rhoecum pupugisti aculeo, domans illius perfidiam.*" sic Dübner (sed Boeckh: Tu molitrix favorum parva, perfidum quae puniens Rhoecum stimulo pupugisti eum). Huc pertinet Schol. Apoll. Rh. II 477 (Et. M. 75, 32) *Χάρων δὲ ὁ Λαμψακηνὸς ἱστορεῖ, ὡς ἄρα Ῥοῖκος θεασάμενος δρῦν ὅσον οὔπω μέλλουσαν ἐπὶ γῆς καταφέρεσθαι, προσέταξε τοῖς παισὶν ὑποστηρίξαι ταύτην· ἡ δὲ μέλλουσα συμφθείρεσθαι τῇ δρυῒ νύμφη, ἐπιστᾶσα τῷ Ῥοίκῳ χάριν μὲν ἔφασκεν εἰδέναι ὑπὲρ τῆς σωτηρίας, ἐπέτρεπεν δὲ αἰτήσασθαι ὅτι βούλοιτο· ὡς δὲ ἐκεῖνος ἠξίου συγγενέσθαι αὐτῇ, ὑπέσχετο δοῦναι τοῦτο· φυλάξασθαι μέντοι γε ἑτέρας γυναικὸς ὁμιλίαν παρήγγειλεν· ἔσεσθαι δὲ μεταξὺ αὐτῶν ἄγγελον μέλισσαν. Καί ποτε πεσσεύοντος αὐτοῦ παρίστατο* (Keil *παρίπτατο*) *ἡ μέλισσα· πικρότερον δὲ ἀποφθεγξάμενος εἰς ὀργὴν ἔτρεψε τὴν νύμφην, ὥστε πηρωθῆναι αὐτόν. Καὶ Πίνδαρος δέ φησι περὶ Νυμφῶν ποιούμενος τὸν λόγον· Ἰσοδένδρου τέκμαρ αἰῶνος λαχοῦσα(ι).* vid. fr. 142, fortasse ex eodem carmine.

237. [140.]

Harpocrat. p. 41 ed. Bekk.: *Αὐτόχθονες· ... ὁ δὲ Πίνδαρος καὶ ὁ τὴν Δαναΐδα πεποιηκώς φασιν Ἐριχθόνιον καὶ Ἥφαιστον ἐκ Γῆς φανῆναι.*

238. [144.]

Appollodor. Bibl. II 4, 2: *Αὗται δὲ αἱ νύμφαι (Γοργόνες) πτηνὰ εἶχον πέδιλα καὶ τὴν κίβισιν, ἥν φασιν εἶναι πήραν.* quibus vulgo et in libris adduntur haec: *Πίνδαρος δὲ καὶ Ἡσίοδος ἐν Ἀσπίδι ἐπὶ τοῦ Περσέως· πᾶν δὲ μετάφρενον εἶχε κάρα δεινοῖο πελώρου Γοργοῦς, ἀμφὶ δέ μιν κίβισις θέε. εἴρηται δὲ παρὰ τὸ κεῖσθαι ἐκεῖ ἐσθῆτα καὶ τὴν τροφήν.*

239. [149.]

Schol. Pind. Nem. VII 103: *Εὐξενίδην δὲ εἶπεν ὡς ἀπό τινος Εὐξένου τῆς ὅλης φατρίας ἀφηγουμένου, ὡς Σκοπάδας καὶ Ἀλευάδας εἴωθε (Πίνδαρος) καλεῖν τοὺς Θεσσαλούς.*

240. [155.]

Strabo III 170: *Καὶ τὰς Πλαγκτὰς καὶ τὰς Συμπληγάδας ἐνθάδε μεταφέρουσί τινες, ταύτας εἶναι νομίζοντες Στήλας, ἃς Πίνδαρος καλεῖ πύλας Γαδειρίδας* (C *Γαδειρίτας*), *εἰς ταύτας ὑστάτας ἀφῖχθαι φάσκων τὸν Ἡρακλέα.* et p. 171: *Καὶ ὁ Πίνδαρος οὕτως ἂν ὀρθῶς λέγοι πύλας Γαδειρίδας, εἰ ἐπὶ τοῦ στόματος νοοῖντο αἱ στῆλαι· πύλαις γὰρ ἔοικε τὰ στόματα.* Cf. Eust. ad Dionys. Per. v. 64.

241. [156.]

Strabo XV 711: *Περὶ δὲ τῶν χιλιετῶν Ὑπερβορέων τὰ αὐτὰ λέγει Σιμωνίδῃ καὶ Πινδάρῳ καὶ ἄλλοις μυθολόγοις.*

242. [163.]

Pausan. I 41, 5: *Μεγαρέως δὲ Τίμαλκον παῖδα τίς μὲν ἐς Ἄφιδναν ἐλθεῖν μετὰ τῶν Διοσκούρων ἔγραψε; πῶς δ' ἂν ἀφικόμενος ἀναιρεθῆναι νομίζοιτο ὑπὸ Θησέως, ὅπου καὶ Ἀλκμὰν ποιήσας ᾆσμα ἐς τοὺς Διοσκούρους, ὡς Ἀθήνας ἕλοιεν καὶ τὴν Θησέως ἀγάγοιεν μητέρα αἰχμάλωτον, ὅμως Θησέα φησὶν αὐτὸν ἀπεῖναι. Πίνδαρος δὲ τούτοις τε κατὰ ταὐτὰ ἐποίησε καὶ γαμβρὸν τοῖς Διοσκούροις Θησέα εἶναι βουλόμενον* (codd. *βουλόμενος*, C. Fr. Hermann *βουλομένοις*), *ἐς ὃ ἀπελθεῖν αὐτὸν Πειρίθῳ τὸν λεγόμενον γάμον συμπράξοντα.*

243. [176.]

Schol. Il. π 170: *καὶ Πίνδαρος πεντηκονταερέτμους φησὶ τὰς ναῦς τῶν Ἀχαιῶν εἶναι.* Eadem Cram. An. Par. III 286, 27 ubi *πεντήκοντα ἐρεγμούς*. Boeckh *πεντηκοντηρέτμους*.

244. [178.]

Aristid. II 339: *Καί τοι τίς οὐκ ἂν φήσειεν οὑτωσὶ πολλὴν εἶναι τὴν ἀλογίαν, ὄντα μὲν αὐτὸν (Παλαμήδην) κυριώτερον τοῦ Ὀδυσσέως εἰς σοφίας λόγον, ὡς ἔφη Πίνδαρος, εἶθ' ἡττηθῆναι ὑπὸ τοῦ χείρονος;*

245. [180.]

Soph. Aiac. Arg.: *περὶ δὲ τῆς πλευρᾶς, ὅτι μόνην αὐτὴν τρωτὴν εἶχεν (Αἴας), ἱστορεῖ καὶ Πίνδαρος, ὅτι τὸ μὲν σῶμα, ὅπερ ἐκάλυψεν ἡ τοῦ Ἡρακλέος λεοντῆ, ἄτρωτον ἦν, τὸ δὲ μὴ καλυφθὲν τρωτὸν ἔμεινεν.*

246. [181.]

Schol. ad Il. κ 435, ubi in AD haec leguntur: *Ῥῆσος γένει μὲν ἦν Θρᾷξ, υἱὸς δὲ Στρυμόνος τοῦ αὐτόθι ποταμοῦ καὶ Εὐτέρπης μιᾶς τῶν Μουσῶν. διάφορος δὲ τῶν καθ' αὐτὸν γενόμενος ἐν πολεμικοῖς ἔργοις ἐπῆλθε τοῖς Ἕλλησιν, ὅπως Τρωσὶ συμμαχήσῃ, καὶ μίαν ἡμέραν συμβαλὼν πολλοὺς τῶν Ἑλλήνων ἀπέκτεινεν· δείσασα δὲ Ἥρα περὶ τῶν Ἑλλήνων Ἀθηνᾶν ἐπὶ τὴν τούτου διαφθορὰν πέμπει· κατελθοῦσα δ' ἡ θεὸς Ὀδυσσέα τε καὶ Διομήδη ἐπὶ τὴν κατασκοπὴν ἐποίησε προελθεῖν· ἐπιστάντες δὲ ἐκεῖνοι κοιμωμένῳ Ῥήσῳ αὐτόν τε καὶ τοὺς ἑταίρους αὐτοῦ κτείνουσιν, ὡς ἱστορεῖ Πίνδαρος.* Haec contracta sunt in BLV: *ἱστορεῖ δὲ Πίνδαρος, ὅτι καὶ μίαν ἡμέραν πολεμήσας (Ῥῆσος) πρὸς Ἕλληνας μέγιστα αὐτοῖς ἀπεδείξατο κακά, κατὰ δὲ θείαν πρόνοιαν νυκτὸς αὐτὸν Διομήδης ἀναιρεῖ.* Cf. Eust. 817, 28. Eudoc. 317.

247.

Pausan. IX 22, 7: *Πινδάρῳ δὲ καὶ Αἰσχύλῳ πυνθανομένοις παρὰ Ἀνθηδονίων, τῷ μὲν οὐκ ἐπὶ πολὺ ἐπῆλθεν ᾆσαι τὰ εἰς Γλαῦκον, Αἰσχύλῳ δὲ καὶ εἰς ποίησιν δράματος ἐξήρκεσε.*

248. [189.]

Vita Homeri in Gal. Opusc. Myth. p. 283: *Ὅμηρον τοίνυν Πίνδαρος μὲν ἔφη Χῖόν τε καὶ Σμυρναῖον γενέσθαι, Σιμωνίδης δὲ Χῖον.* ubi Wassenbergh censuit verba *Χῖόν τε καὶ* delenda esse, quemadmodum perhibet auctor vit. Hom. V ap. Westerm. Biogr. p. 28: *τὸ δὲ γένος κατὰ μὲν Πίνδαρον Σμυρναῖος, κατὰ δὲ Σιμωνίδην Χῖος.* at rursus alteram memoriam tuetur vita VI ib. p. 30 (Cram. An. Par. III 98, 13): *Ἀναξιμένης καὶ Δαμάστης καὶ Πίνδαρος Χῖον τὸν Ὅμηρον ἀποφαίνονται καὶ Θεόκριτος.* et similiter Tzetz. Exeg. Il. p. 7. Pindarus igitur utramque poetae summi patriam testatus erat; poterat in diversis carminibus diversam famam sequi, id quod Sengebusch Dissert. Homer. I 167 statuit, sed multo verisimilius est, quod iam Boeckh existimavit, Pindarum Homeri, quem Smyrnae natum esse statueret, in Chio insula domicilium testificatum esse. Ac fortasse huc referendum est fr. 187 *καὶ λιπαρῷ Σμυρναίῳ ἄστει.* Haec enim non possunt ad Pindari tempus referri, quo Smyrnae urbs nulla fuit, neque cum heroum laudibus convenit urbis memoria, sed cadunt haec bene in Homeri aetatem.

249. [189.]

Aelian. Var. Hist. IX 15: *λέγεται δὲ κἀκεῖνο πρὸς ταύτοις, ὅτι ἄρα ἀπορῶν (Ὅμηρος) ἐκδοῦναι τὴν θυγατέρα, ἔδωκεν αὐτῇ προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια, καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος.*

250.

Philodem. de Musica col. XX, ubi improbabile dicit esse a Thaleta et Terpandro Lacedaemoniorum dissidia composita esse: *τοὺς ἐ(πὶ τῶν)*

ἀγώνων ἔ(τ)ερπεν ὁ Τέρ(παν)δρος· τοὺς δὲ Λάκωνας ἀ(π)ειθεῖν προα(ι)ρουμένους (τῷ) μαντείῳ κα(ὶ) [Hartung *καινῷ*] *(λ)όγῳ δ' ἴσω(ς) προαχθέν(τ)α(ς) ἀποτεθεῖσθαι τὴν στάσιν· ἀλλὰ μὴν καὶ τὸ μὲν κα(τὰ) Στησίχορ(ο)ν οὐκ ἀκρι(β)ῶ(ς) ἱστο(ρεῖ)τ(αι), τ(ὸ δὲ) Π(ι)νδ(ά)ρειον, εἰ τῆς διχ(ον)οίας ἔπεισεν, οὐκ οἴδαμεν.* Ceterum dubium, utrum Stesichorus de Thaleta, de Terpandro Pindarus dixerit, an utriusque testimonium ad Terpandrum sit referendum. Omnino autem quaeritur, an Pindari nomen recte sit restitutum, nam fort. scrib. *τὸ δὲ Τερπάνδρειον εἰ τῆς διχονοίας ἔπαυσεν, οὐκ οἴδαμεν*, ut philosophus dixerit, Stesichori testimonium de Terpandro Lacedaemonios reconciliante non satis dilucidum esse, Terpandri autem carmen, quo ad concordiam hortatus sit Lacedaemonios, utrum dissidia vere composuerit necne, incertum esse; igitur superstes etiam postera aetate fuisse Terpandri carmen foret censendum.

251. [191.]

Pausan. IX 30, 2: *Ὁ δὲ Σακάδα τοῦ Ἀργείου τὸν ἀνδριάντα πλάσας, οὐ συνιεὶς Πινδάρου τὸ ἐς αὐτὸν προοίμιον, ἐποίησεν οὐδὲν ἐς τὸ μῆκος τοῦ σώματος εἶναι τῶν αὐλῶν μείζονα τὸν αὐλητήν.* Adde Plut. de mus. c. 8: *γέγονε δὲ καὶ Σακάδας Ἀργεῖος ποιητὴς μελῶν τε καὶ ἐλεγείων μεμελοποιημένων· τούτου καὶ Πίνδαρος μνημονεύει.* Carmen, quod Pausanias *προοίμιον* vocat, Boeckh existimat *prosodium* fuisse, mihi videtur libro III Partheniorum insertum fuisse.

252. [192.]

Tzetz. Chil. I 8: *Ὡς γὰρ ὁ Πίνδαρός φησιν υἱὸς τοῦ Δαϊφάντου Ἐλθόντα πρὶν ὡς πρὸς αὐτὸν (Κροῖσον) Ἀλκμαίωνα τὸν πάνυ, Ὁπόσον δύναιτο λαβεῖν ἐκέλευε χρυσίον. Ὁ δὲ χιτῶνα περιδὺς εὐρύκολπον εἰσάγαν, Κοθόρνους τε τῶν τραγικῶν καὶ τῶν ευρυπεδίλων Τοὺς θησαυροὺς εἰσδεδυκὼς πάντα πληροῖ χρυσίου, Ὡς καὶ τὴν κόμην τὴν αὐτοῦ κατέχων τοῖς ὀδοῦσι· Τῷ τοῦ χρυσίου βάρει δὲ βαδίζειν οὐκ ἰσχύων Κροῖσον κινεῖ πρὸς γέλωτα βαδίσει καὶ τῇ θέᾳ, Ἐφ' οἷς αὐτὸν ἐκέλευσε δὶς τόσα λαβεῖν ἄλλα· Καὶ ταῦτα μὲν ὁ Πίνδαρος ὁ λυρικός που γράφει.*

253. [193.]

Harpocrat. v. *Ἄβαρις* p. 1: *Ἱππόστρατος μὲν γὰρ κατὰ τὴν τρίτην αὐτὸν Ὀλυμπιάδα λέγει παραγενέσθαι, ὁ δὲ Πίνδαρος κατὰ Κροῖσον τὸν Λυδῶν βασιλέα, ἄλλοι δὲ κατὰ τὴν κ' Ὀλυμπιάδα.*

254. [194.]

Origenes adv. Cels. III p. 126 Spencer: *Καὶ πρῶτόν γε τὰ περὶ τὸν Προκοννήσιον Ἀριστέαν, περὶ οὗ ταῦτά φησι (Κέλσος)· Εἶτ' Ἀριστέαν μὲν τὸν Προκοννήσιον ἀφανισθέντα τε οὕτω δαιμονίως ἐξ ἀνθρώπων καὶ αὖθις ἐναργῶς φανέντα καὶ πολλοῖς ὕστερον χρόνοις*

πολλαχοῦ τῆς οἰκουμένης ἐπιδημήσαντα καὶ θαυμαστὰ ἀναγγείλαντα καὶ τοῦ Ἀπόλλωνος ἐπισκήψαντος Μεταποντίνοις ἐν θεῶν μοίρᾳ μένειν τὸν Ἀριστέαν, τοῦτον οὐδεὶς ἔτι νομίζει θεόν. Ἔοικε δ' εἰληφέναι τὴν ἱστορίαν ἀπὸ Πινδάρου καὶ Ἡροδότου κτλ. Cf. Aeneas Gaz. in dial. Theophr. p. 77.

255. [195.]

Vita Pindari Vrat. T. II p. 9 ed. Boeckh (Westerm. p. 98): ἐπέβαλε δὲ τοῖς χρόνοις Σιμωνίδου ἢ νεώτερος πρεσβυτέρῳ· τῶν γοῦν αὐτῶν μέμνηνται ἀμφότεροι πράξεων· καὶ γὰρ Σιμωνίδης τὴν ἐν Σαλαμῖνι ναυμαχίαν γέγραφε, καὶ Πίνδαρος μέμνηται τῆς Κάδμου βασιλείας· Boeckh τῆς Καμβύσου βασιλείας, Westermann Ξέρξου, Schneider Δαρείου, cf. etiam Eust. Prooem. 26.

256. [200.]

Schol. Soph. Oed. Reg. 899: Ἄβαι, τόπος Λυκίας, ἔνθα ἱερόν ἐστιν Ἀπόλλωνος· ἢ διὰ τῶν Ἰαμιδῶν (ita Boeckh, cod. ηΔῖ σαμ῀ι) ὅτι καὶ ἐκεῖ μαντεύονται, ὡς καὶ Πίνδαρος. Speciosa coniectura, sed fortasse scholiastae adnotatio pertinet ad proxima Sophoclis verba οὐδὲ τὰν Ὀλυμπίαν, ut scripserit ἢ Δία τὸν Ὀλύμπιον (σέβων), et respexerit Ol. VI 5. VIII, 2.

257. [202.]

Schol. Apoll. Rhod. 1, 411: Αἰσωνὶς πόλις τῆς Μαγνησίας, ἀπὸ Αἴσωνος τοῦ πατρὸς Ἰάσονος, ὡς καὶ Πίνδαρός φησι καὶ Φερεκύδης. sed fort. nihil aliud dicere voluit, quam Aesonem, Iasonis patrem, a Pindaro commemoratum esse (Pyth. IV 118).

258. [288.]

Quintil. X 1, 109: „Non enim *pluvias*, ut ait Pindarus, *aquas colligit*, sed vivo gurgite exundat (Cicero).“ Pindarus συνάγειν ὕδατα ὄμβρια dixisse videtur.

259. [289.]

Plutarch. de Pyth. orac. c. 18: Πίνδαρος δὲ καὶ περὶ τρόπου μελῳδίας ἀμελουμένου καθ' αὑτὸν ἀπορεῖν ὁμολογεῖ, καὶ θαυμάζει, ὅτι * *. Ipse locus excidit.

260. [264.]

Plutarch. de sera Num. vind. c. 22 extr. de Neronis anima verba faciens: προκεχειρισμένων δὲ καὶ ταύτῃ τῶν δημιουργῶν Πινδαρικῆς ἐχίδνης εἶδος, ἐν ᾧ κυηθεῖσα καὶ διαφαγοῦσα τὴν μητέρα βιώσεσθαι, φῶς ἔφασκεν ἐξαίφνης διαλάμψαι μέγα. Locus obscurus, ac fortasse Pindari nomen omnino alienum.

261. [245.]

Theodor. Metoch. p. 282: Τίνα δὲ τῶν ἐν μακραῖς συμβιούντων οὐσίαις οὐ κατατρέχουσι καὶ σπαράττουσι δή τινες Κῆρες ὀλβο-

θρέμμονες, φησὶ Πίνδαρος, μεριμναμάτων ἀλεγεινῶν (cod. Mon. ἀλγεινῶν).

262. [251.]

Theodor. Metoch. 439: Καὶ φέρειν ἀνάγκην ἔχοντες κατὰ Πίνδαρον ἀλλότρια μεριμνάματα καὶ κέαρ ἀλλοτρίας φύσεως (φύσιος).

263.

Eust. Prooem. 21: καὶ τὸ ἀμεῦσαι, ὅ ἐστι παρελθεῖν· καὶ κινῆσαι, οἷον· ἀμεύσεσθαι Νάξιον Τίσανδρον. scr. ἀμεύσασθαι, cf. Hesych. αμεύσασθαι, διελθεῖν (fort. παρελθεῖν), περαιώσασθαι. Et iam apud Hesych. continuo sequitur glossa Pindarica ἀμευσιεπής, (vid. Fr. 280 A.) quemadmodum ap. Eustathium.

264. [249.]

Liban. Or. T. I 432 ed. Reiske: πρὸς γὰρ τῷ τὰ δεύτερα τῶν προτέρων πεφυκέναι κρατεῖν, ὡς ἔφη Πίνδαρος, τὸ τὸν τετιμηκότα τοῦ περιυβρικότος εἶναι βελτίω μεγάλην ἰσχὺν εἰς τὸ λήθην ἐπιθεῖναι τοῖς φαυλοτέροις ἔχει.

265 A.

Philo de caritate T. II 404 ed. Mang.: Ἔπειτα δ' ὅτι φρονήματος ὑπόπλεως ἀλόγου γενόμενος πᾶς ἀλαζὼν οὔτε ἄνδρα οὔτε ἡμίθεον μᾶλλον ἢ δαίμονα κατὰ τὸν Πίνδαρον ὑπολαμβάνει ἑαυτόν, ὑπὲρ τοὺς ὅρους τῆς ἀνθρωπίνης φύσεως ἀξιῶν βαίνειν. Ambigas, utrum μᾶλλον ἢ οὐ δαίμονα an μᾶλλον δὲ δαίμονα corrigendum sit.

265 B.

Philo de providentia II p. 120 ed. Auger.: *Pro honore* itaque, ut dixit olim Pindarus, *silentium laetabundus suscipiam.*

266.

Io. Siceliota Rhet. Gr. T. VI p. 395: πέντε τάξεις γλυκύτητος ἐννοιῶν, ἐν αἷς κατὰ Πίνδαρον οἷς χαίρει τις, τούτοις καὶ τιμώμενος ἥδεται.

267. [110.]

Philostr. Vit. Apoll. Tyan. VI 26: τὴν δὲ πρόσω ὁδὸν τὴν ἐπὶ τὰς πρώτας πηγὰς (Νείλου) ἄγουσαν, ἄπορον μὲν ἐλθεῖν φασιν, ἄπορον δὲ ἐνθυμηθῆναι· πολλὰ γὰρ καὶ περὶ δαιμόνων ᾄδουσιν, οἷα καὶ Πινδάρῳ κατὰ σοφίαν ὕμνηται περὶ τοῦ δαίμονος, ὃν ταῖς πηγαῖς ταύταις ἐφίστησιν ὑπὲρ ξυμμετρίας τοῦ Νείλου. cf. Phot. Bibl. 241 p. 331. Deus, quem Pindarus Nili fontibus praeesse finxit, Ganymedes videtur esse, vid. Schol. Arat. Phaen. 282: ὑδροχόος δὲ οὗτος δοκεῖ κεκλῆσθαι ἀπὸ τῆς πράξεως· ἔχων γὰρ ἕστηκεν οἰνοχόην καὶ

ἔκχυσιν πολλὴν ποιεῖται ὑγροῦ, ἥτις εἰκάζεται τῷ νέκταρι τοῦ Γανυμήδους. τὸν Γανυμήδην γὰρ αὐτὸν ἔφασαν οἱ περὶ Πίνδαρον ἑκατοντόργυιον ἀνδριάντα (poeta ἑκατοντορόγυιον videtur dixisse) ἀφ' οὗ τῆς κινήσεως τῶν ποδῶν τὸν Νεῖλον πλημμυρεῖν. Eundem Pindari locum respicit Philostr. Imagg. I 5: Νεῖλος Αἴγυπτον πλωτὴν ἐργασάμενος εὐκάρπῳ τῇ γῇ χρῆσθαι δίδωσιν ὑπὸ τῶν πεδίων ἐκποθείς, ἐν Αἰθιοπίᾳ δέ, ὅθεν ἄρχεται, ταμίας αὐτῷ δαίμων ἐφέστηκεν, ὑφ' οὗ πέμπεται ταῖς ὥραις σύμμετρος. γέγραπται δὲ οὐρανομήκης ἐπινοῆσαι καὶ τὸν πόδα ἔχει πρὸς ταῖς πηγαῖς, οἷον, ὦ Πόσειδον, προσνεύων· ἐς τοῦτον ὁ ποταμὸς βλέπει, καὶ αἰτεῖ τὰ βρέφη αὐτῷ πολλὰ εἶναι. Egit haud dubie de hoc loco Porphyrius in libro περὶ τῶν κατὰ Πίνδαρον τοῦ Νείλου πηγῶν. vid. Suidas v. Πορφύριος et Eudoc. 364. Hartung haec refert ad hymnum in Ammonem.

268. [111.]

Phot. 74, 1 et Suidas v. Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέος. Πολιτείας β' οὕτω γραπτέον ... παρὰ Πινδάρῳ γὰρ ὑπὸ Ἡφαίστου δεσμεύεται ἐν τῷ ὑπ' αὐτοῦ κατασκευασθέντι θρόνῳ. ὃ τινες ἀγνοήσαντες γράφουσιν ὑπὸ Διός. Καί φασι δεθῆναι αὐτὴν ἐπιβουλεύσασαν Ἡρακλεῖ. Κλήμεντος. ἡ ἱστορία καὶ παρ' Ἐπιχάρμῳ ἐν Κωμασταῖς ἢ Ἡφαίστῳ.

269. [141.]

Schol. Il. ξ 319: αὕτη δὲ (Δανάη), ὥς φησιν Πίνδαρος καὶ ἄλλοι τινές, ἐφθάρη ὑπὸ τοῦ πατραδέλφου αὐτῆς Προίτου, ὅθεν αὐτοῖς καὶ στάσις ἐκινήθη.

270.

Fulgent. Mythol. I 12: „In huius (Apollinis) etiam tutelam corvum ponunt, ... sive quod in horoscopicis libris, secundum Anaximandrum, sive etiam secundum Pindarum, solus inter omnes aves sexaginta quatuor significationes habet vocum." quae fides his habenda sit, satis incertum. Fortasse in commentariis ad Pyth. III 28 tale quid olim legebatur.

271. [117.]

Schol. Aesch. Eum. 11: χαριζόμενος Ἀθηναίοις καταχθῆναί φησιν (Aeschylus) αὐτὸν ἐκεῖσε Ἀπόλλωνα, κἀκεῖθεν τὴν περιπομπὴν αὐτῷ εἶναι, ὁ δὲ Πίνδαρος ἐκ Τανάγρας τῆς Βοιωτίας. Müller coni. Τεγύρας Orchom. p. 147.

272. [120.]

Iulianus Epist. XIX: Πινδάρῳ μὲν ἀργυρέας εἶναι δοκεῖ τὰς Μούσας, οἱονεὶ τὸ ἔκδηλον αὐτῶν καὶ περιφανὲς τῆς τέχνης εἰς τὸ τῆς ὕλης λαμπρότερον ἀπεικάζοντι. Cave haec referas ad Isthm. II 8.

273 [121.]

Liban. Epist. XXXIV: Ὁ μὲν Πίνδαρός που φησὶ μήλων τε χρυσῶν εἶναι φύλαξ, τὸ δὲ εἶναι Μουσῶν, καὶ τούτων ἄλλοτε ἄλλοις νέμειν.

274. [234.]

Stob. Flor. CXI 12: Πινδάρου· Πίνδαρος εἶπε τὰς ἐλπίδας εἶναι ἐγρηγορότων ἐνύπνια. Cf. Eust. Opusc. p. 124. Boiss. Anecd. Nova 140. Plut. Erot. 16: καὶ οὐχὶ ὥς τις εἶπεν, αἱ ποιητικαὶ φαντασίαι διὰ τὴν ἐνάργειαν ἐγρηγορότων ἐνύπνιά εἰσιν. Fort. *apophthegma* potius fuit, tribuiturque ab aliis Aristoteli (Diog. L. V 18), ab aliis Platoni (Aelian. V. H. XIII 29).

275. [208.]

Pausan. V 22, 6: Λέγεται δὲ ἐς μὲν Κόρκυραν, ὡς μιχθείη Ποσειδῶν αὐτῇ, τοιαῦτα δὴ ἕτερα ᾖσε Πίνδαρος ἐς Θήβην τε καὶ ἐς Δία. Sed rectius videtur Unger Thebana Parad. p. 66 ad Isthm. VII 18 referre. — Quod dicit Tzetz. Exeg. Il. p. 132: λαβὼν δὲ ὁ προρρηθεὶς Ἀσωπὸς πρὸς γάμον Μετώπην τὴν Λάδωνος θυγατέρα, καθά φησι Πίνδαρος, ἐκ ταύτης γεννᾷ Θήβην, Κέρκυραν, Αἴγιναν τὴν μητέρα τοῦ Αἰακοῦ, Σαλαμῖνα, Ἅρπινναν, Νέμεαν, Κλεώνην ad Ol. VI 84 pertinet, vid. ibi schol.

276.

Probus ad Virg. Ecl. VII 61: „Pindarus initio Alciden nominatum, postea Herculem dicit ab Hera, quam Iunonem dicimus, *quod eius imperiis opinionem famamque virtutis sit consecutus.*" Idem veriloquium Matris secutus est, vid. Diod. Sic. I 24: Ἀλκαῖον ἐκ γενετῆς καλούμενον ὕστερον Ἡρακλέα μετονομασθῆναι, οὐχ ὅτι δι' Ἥραν ἔσχε κλέος, ὥς φησιν ὁ Ματρις, ἀλλ' ὅτι τὴν αὐτὴν ἐζηλωκὼς προαίρεσιν Ἡρακλεῖ τῷ παλαιῷ τὴν ἐκείνου δόξαν ἅμα καὶ προσηγορίαν ἐκληρονόμησε. idem tamen IV 10: Διόπερ Ἀργεῖοι πυθόμενοι τὸ γεγονὸς Ἡρακλέα προσηγόρευσαν, ὅτι δι' Ἥραν ἔσχε κλέος, Ἀλκαῖον πρότερον καλούμενον. cf. oraculum ap. Tzetz. Lycoph. 662: Ἡρακλέα δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει, ἐξ Ἥρας γὰρ ἐν ἀνθρώποις κλέος ἄφθιτον ἕξεις, quod quidem oraculum alii (vid. Schol. Il. ξ 323) sic proferunt: ἦρα γὰρ ἀνθρώποισι φέρων κ. ἀ. ἕξεις. Alii porro sic vocatum perhibebant, quod ἀέριον κλέος ἔσχεν, vid. Cram. An. Ox. II 445. Cf. praeterea Et. M. 435, 3 et Suid. v. Ἡρακλῆς.

277. [226.]

Plato Theaetet. 173 D: Ἀλλὰ τῷ ὄντι τὸ σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ καὶ ἐπιδημεῖ, ἡ δὲ διάνοια ταῦτα πάντα ἡγησαμένη σμικρὰ καὶ οὐδέν, ἀτιμάσασα πανταχῇ φέρεται (πέτεται 𝔟, et 𝔄BC in marg.) κατὰ Πίνδαρον, τά τε γᾶς ὑπένερθε (Ξ corr. ἐπί-

περθεν) καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανοῦ τε ὕπερ ἀστρονομοῦσα καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνωμένη τῶν ὄντων ἑκάστου ὅλου, εἰς τι τῶν ἐγγὺς οὐδὲν αὑτὴν συγκαθιεῖσα. unde descripsit Iamblich. Protrept. 212. Conferas etiam Clem. Alex. Str. V 707 πέταται κατὰ Πίνδαρον τᾶς τε γᾶς ὑπένερθεν οὐρανοῦ τε ὕπερ ἀστρονομῶν καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνάμενος (H ἐρευνώμενος). et Theodoret. Gr. Aff. Cur. XII 169, 11: πανταχῆ πέταται (D ποτᾶται) κατὰ Πίνδαρον, τά τε γῆς ὑπένερθεν (C ὕπερθεν) καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, οὐρανούς τε ὑπεραστρονομοῦσα καὶ πᾶσαν πάντῃ φύσιν διερευνωμένη. Porro Galen. Protr. c. 1: τὰ τῆς γῆς νέρθεν καὶ τὰ ὕπερθε τοῦ οὐρανοῦ κατὰ Πίνδαρον ἐπισκοπεῖ. Respicit etiam M. Antonin. II 13: οὐδὲν ἀθλιώτερον τοῦ πάντα κύκλῳ ἐκπεριερχομένου καὶ τὰ νέρθεν γᾶς, φησίν, ἐρευνῶντος, cf. Porphyr. de abstin. I p. 62. Macar. ap. Walz Arsen p. 444 τὰ γῆς ἔνερθεν καὶ τὰ ἐπὶ πέδον. λείπει οἶδεν· ἐπὶ τῶν πολυπραγμόνων. Plato fortasse plura quam quae notavi ex Pindaro sumsit, sed res satis incerta, neque nos iuvant reliquorum scriptorum loci, qui fere a Platone suspensi sunt. Certe non licet Pindari versus instaurare, quamquam ausus est Hartung:

ὃς πέταται τά τε γᾶς ἔνερθεν καὶ ὕπερθεν ἐρευνῶν
οὐρανοῦ θ' ὕπατ' ἄστρα.

278 A. B.

Eust. Prooem. 16: Ἀγῶνα δὲ μνησιστέφανον, ὃν καὶ ἑτέρως κατὰ λόγον δριμύτατον μνηστῆρα στεφάνων εἶπεν. Schneidewin, μνασιστέφανον et μναστῆρα.

279. [138.]

Et. M. 60, 37: Ἀλέρα καὶ Ἐλάρα (Tityi mater) ... Ἀλέρα δὲ παρὰ Πινδάρῳ, οἷον· Ἀλέρας ὄζον. sic cum Hemsterhusio scripsi. v. ὠσύν (Va υἱόν).

280 A.

Eustath. Prooem. 21: ὅθεν καὶ ἀμευσιεπῆ φροντίδα φησὶ τὴν ταχέως εὑρετικὴν διάνοιαν, Hesych. ἀμευσιεπής· διαλλάσσουσα καὶ ἀμειβομένη τοῖς λόγοις. Eadem Et. M. 82, 16.

280 B. [203.]

Steph. Byz. Ἀπέσας· ... ὄρος τῆς Νεμέας, ὡς Πίνδαρος καὶ Καλλίμαχος ἐν τρίτῃ.

281. [268.]

Suidas v. Ἀράχνη· θηλυκῶς τὸ ὕφασμα, ἀράχνης ἀρσενικῶς τὸ ζωΰφιον. ... εἴρηται δὲ ἀράχνης καὶ παρ' Ἡσιόδῳ καὶ παρὰ Πινδάρῳ, καὶ παρὰ Καλλίᾳ. Eadem Bekk. An. I 442, 1, nisi quod Καλλίοις ibi legitur: videtur scribendum καὶ παρὰ Καλλιμάχῳ· ἔργον ἀράχνα ἀπὸ τῆς ἀράχνης ὀρθῆς.

282.

Eust. Prooem. 21: ἁρμασιδούπους τοὺς ἱππικωτάτους.

283. [270.]

Eust. ad Od. 1406, 14: τὸ διαβάλλειν δὲ οὐ μόνον συκοφαντικὸν ἔχει νοῦν, ὅθεν καὶ ἡ διαβολή, καὶ ὁ παρὰ Πινδάρῳ διάβολος ἄνθρωπος. Idem ad Il. 128, 38: ἡγεμονεὺς καὶ ἡνιοχεὺς καὶ ὁ ἐκ τοῦ Ἀλκαῖος Ἀλκεύς, ὅθεν καὶ Ἀλκείδης Ἡρακλῆς, καὶ ὁ ἐκ τοῦ παρὰ Πινδάρῳ διάβολος κοινῶς διαβολεύς. Mirum profecto vulgare hoc vocabulum, quamquam apud antiquiores non fuit frequentatum, Pindari auctoritate firmari: magis etiam mirum, quod διαβολεὺς vulgo usitata, διάβολος rarior forma dicitur: videtur Eustathius antiquioris grammatici sententiam falso interpretatus esse, qui dixerat a Pindaro formam διαβολεὺς ioco vulgaris διάβολος esse adhibitam, quod fortasse olim legebatur Pyth. II 76.

284.

Eust. Prooem. 21: ἐλασίχθονα Ποσειδῶνα τὸν ἐννοσίγαιον. nisi forte Pyth. VI 50 scribendum τὶν δ' Ἐλάσιχθον pro Ἐλέλιχθον.

285.

Schol. Arist. Av. 930: ἐμὶν τεῖν· Χλευάζει τῶν διθυραμβοποιῶν τὸν συνεχῆ ἐν τοῖς τοιούτοις Δωρισμὸν καὶ μάλιστα τὸν Πίνδαρον, συνεχῶς λέγοντα ἐν ταῖς αἰτήσεσι τὸ ἐμίν. Pindarum quod dicit, finxisse videtur.

286.

Eust. Prooem. 11: ἐνίκησαν οἳ (Schneidewin ἐνίκασαν) ἤγουν οἵτινες ἐνίκησαν.

287. [271.]

Et. Gud. 193, 9: Ἐξεστηκὼς διχῶς λέγεται παρὰ Θουκυδίδῃ καὶ Πινδάρῳ, ὁτὲ μὲν τὸ μαίνεσθαι καὶ ἔκφρονα εἶναι, ὁτὲ δὲ τὸ ὑπαναχωρεῖν καὶ ὑπεξέρχεσθαι ἢ ἀφίστασθαι.

288.

Eust. Prooem. 21: καὶ τὸ ἔπει δὲ ἀντὶ τοῦ ἔπειτα ἡ ἀποκοπὴ καινὸν παρ' αὐτῷ ποιεῖ. Error grammaticorum subesse videtur.

289 [272.]

Et. M. 354, 59: Ἐπέτειον· ἐπὶ τοῦ νῦν ἔτους· ἔπετος (V ἐπέτος ον καὶ ἐπίτειος) γὰρ δεῖ λέγεσθαι τὸν ἐνεστῶτα καιρόν, οὐχὶ διὰ τοῦ φ, ἀλλὰ διὰ τοῦ π, ὥς φησι Πίνδαρος καὶ Δημοσθένης. Ῥητορική.

Scribendum videtur *ἐπ' ἔτος γὰρ καὶ ἐπέτειον κτλ.* ut hoc exemplum ex Pindaro, illud ex Demosthene attulerit grammaticus, ut a prava, quam existimabat, aspiratione deterreret. Similia leguntur ap. Bachmann. An. I 227, 32 (ubi *ἔτος γὰρ δεῖ λέγειν*), Cram. An. Par. IV 169, 9, Zonar. 809, Suid. v. *ἐπέτειον*, quibus adde Cyrillum in Cod. Vind. n. 319: *ἐπέτειον ἐπὶ τοῦ νῦν ἕως ἔτους· ἐπέτος γὰρ δεῖ λέγειν τ. ἰ. κ. οὐχὶ ἐφέτος, ὡς φ. Πίνδαρος καὶ Δημοσθένης.*

290.

Schol. Il. ω 277: *Καὶ Πίνδαρος τὰ ἅρματα ἔντεά φησιν· ἱππείοις ἔντεσι μεταΐσσων.* Ex perdito aliquo carmine haec verba petita, neque ex Ol. XIII 20 *τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα κτλ.* detorta.

291. 292. [263.]

Eust. Prooem. 16: *Καὶ Δία εὐρύζυγον (καλεῖ) ἄλλως παρὰ τὸ ὑψίζυγον· τὸν δ' αὐτὸν καὶ . . . ἐρισφάραγον.* de quo cf. idem Eust. ad Odyss. 1636, 8: *ὅθεν καὶ Πίνδαρός που ἐπὶ πολυήχου τὸ ἐρισφάραγον τίθησιν.* *Pindari* fortasse versus est, quem sine poetae n. affert Et. M. 166, 53, id quod etiam Gaisford coniecit:

ἐρισφάραγος πόσις Ἥρας ἔσσεται,

sic enim scribendum, vulgo *Ἥρης ἔσται.*

293.

Cram. An. Ox. IV p. 329, 17: *τὸ Καρβὰν παρασύνθετον, Καριβόος, Καριβόαν καὶ Καρβάν, μόνον τὸ Εὔαν (Εὐάν?) θηλυκὸν παρὰ Πινδάρῳ.* fort. huc pertinet Hesych.: *Εὐάν· ὁ κισσὸς ὑπὸ Ἰνδῶν.* Sed L. Dindorf coni. *Εὐνάν*, coll. Bekk. An. III 1376: *Εἰς ᾱν θηλυκὸν οὐκ ἔχομεν· τὸ εὐνάν, εὐνᾶνος ὃ παρατίθενταί τινες ὡς θηλυκόν, νομίζοντες τὴν γυναῖκα σημαίνειν, δείκνυσι Λούπερκος ἐν τῷ περὶ γενῶν, ὅτι ἀρσενικοῦ γένους ἐστίν.*

294. [273.]

Etym. M. 404, 21: *Ἐχέτης ὁ πλούσιος, ὡς Πίνδαρος.*

295. [274.]

Eust. Il. ξ 975, 48: *ἔστι δὲ καὶ γυμναστικὴ λέξις τὸ ἀλείφειν, ἐπεὶ καὶ οἱ γυμνικοὶ ἀγῶνες εἶχον ἔλαιον, ἐξ οὗτινος ἠλαιοῦντο, εἰπεῖν κατὰ Πίνδαρον.*

296. [143.]

Schol. Il. φ 22: *καὶ Πίνδαρος ἰχθὺν παιδοφάγον ἐπὶ τοῦ κήτους.* Cf. Eust. 1221, 35. Choeroboscus I 423 (Bekk. An. III 1232) *ἰ. παιδοφύγα.* Ceterum Ioannes Alex. *τον. παραγγ.* 12, 26 *ἰχθὺν* apud Pindarum acui dicit.

297. [113.]

Lucian. Imagg. c. 8: *Συνεπιλήψεται δὲ τοῦ ἔργου αὐτῷ καὶ ὁ Θηβαῖος ποιητής, ὥστ' ἰοβλέφαρον ἐξεργάσασθαι (τὴν Ἀφροδίτην).* sic scribendum, vulgo *ὡς τὸ βλέφαρον*, sed *ἰοβλέφαρον* latere iam Solanus vidit, cf. Lucian. Imagg. c. 26: *ἕτερος δέ τις ἰοβλέφαρον τὴν Ἀφροδίτην εἶπε.*

298. [136.]

Et. M. 513, 20: *Κιδαλία . . . ἐκ Πινδάρου· χεῖρα Κιδαλίας* (M *χεῖρας ἀκιδ.*) *εἰς τὴν χεῖρα αἰτιατικὴν μὴ ποιήσῃς ἔκθλιψιν· Κιδαλία γάρ ἐστιν.*

299. [275.]

Schol. Pind. Nem. II 17: *ὀρειᾶν Πελειάδων . . . ἔνιοι διὰ τὸ ἐπὶ τῆς οὐρᾶς τοῦ Ταύρου κεῖσθαι, κατὰ ὕφεσιν τοῦ υ, ὡς καὶ τὸ Κλεὸς ἕκατι, ἀντὶ τοῦ Κλειοῦς* (haec ultima addit R). Corrupte Et. M. 517, 25 et Et. Gud. 526, 3: *κλέος. Πίνδαρος οὐκ οἶδα ὅπου, φησὶ κλεός· κελεὸς καὶ συγκοπῇ κλεός. ὀξῦναί σε δεῖ.* Lobeck Pathol. I 303 putat grammaticum errore deceptum respexisse Nem. III 83 *Κλεοῦς ἐθελοίσας*, ubi unus liber *Κλεὸς* exhibet.

300.

Eust. Prooem. 21: *κρατησιβίαν χερσὶ τὸν ῥωμαλέον.*

301. [212.]

Steph. Byz. v. *Κρήστων, πόλις Θρᾴκης ... ὁ πολίτης Κρηστωναῖος παρὰ Πινδάρῳ.* Meineke coni. *Πεισάνδρῳ.*

302.

Eust. Prooem. 19: *Αἰτὴν δὲ Ἠῶ τὴν εὐκταίαν, καὶ ὡς ἄν τις Ὁμηρικῶς εἴποι πολύλλιστον εἴτε καὶ καθ' ἕτερόν τινα τρίλιστον.*

303. [276.]

Schol. Hom. Il. o 137: *μάρῃ γὰρ ἡ χεὶρ κατὰ Πίνδαρον.* cf. Schol. Lips. Il. γ 307.

304. [278.]

Apollon. Lexic. Hom. 117, 25: *ξεινοδόκος· ... ὁ δὲ Πίνδαρος· ξεινοδόκησέν τε δαίμων· ἀντὶ τοῦ ἐμαρτύρησε.* Cf. Etym. M. 610, 47 et Et. Gud. 414, 36, ubi Simonidi per errorem tribuitur *ξεινοδόκησε Τελαμών*, Pindaro autem versus Simonideus. Zonar. 1415 (Mingarelli Codd. Nan. 496) similiter ex Simonide *ξ. τε λαβών* affert.

305. [279.]

Schol. Hom. Il. χ 51: ubi A *τὸ ὀνομάκλυτος ὡς τοξόκλυτος.*

deinde V: ἔστι γοῦν παρὰ Πινδάρῳ τὸ θηλυκὸν αὐτοῦ ἐν παρωνύμῳ χαρακτῆρι· ὀνομακλύτα γάρ ἐστιν. at B: κατὰ σύνθεσιν οὖν ἐστίν, ὡς τὸ τοξόκλυτος παρὰ Πινδάρῳ καὶ περίκλυτος.

306. [267.]

Schol. Eurip. Phoen. 683: ἐκτίσαντο ἀντὶ τοῦ ᾤκησαν, ὡς τὸ Ὀρεικτίτου (cod. Aug. ὀρεικτήτου, edd. Iunt. Bas. ὀρυκτῇ τοῦ) συὸς παρὰ Πινδάρῳ ἀντὶ τοῦ ὀρειοίκου. et ad v. 687 ed. Matthiae. φησὶ δὲ καὶ Πίνδαρος ὀρείκτιτον σὺν τὸν ἐν ὄρει οἰκοῦντα. Cf. etiam Schol. Pind. Pyth. II 31: καθάπερ φησὶ καὶ ἐν ἄλλοις ὁ Πίνδαρος· Ὀρικτίτου συός. et Schol. Eurip. Orest. 1616: καὶ τὸ συὸς ὀρικτίτου παρὰ Πινδάρῳ.

307. 308. 309.

Eust. Prooem. 21: καὶ τὸ πέδοικος, ὅ ἐστι μέτοικος, καὶ τὸ πέδα στόμα φλέγει ἀντὶ τοῦ μετὰ στόμα, καὶ τὸ πεδασχεῖν ἤτοι μετασχεῖν.

310.

Cramer An. Ox. IV 309, 20: Ἐπὶ τῆς περὶ Πίνδαρος πέροδον (Nem. XI 40) ἔφη ἀντὶ τοῦ περίοδον καὶ περιέναι τετρασυλλάβως. quamquam hoc fortasse ex Attico sermone petitum est exemplum: velut Thucyd. I 30, 3 περιόντι τῷ θέρει scripsit, ubi minime opus est mutatione περιιόντι, quam huius consuetudinis immemores critici commendant.

311. [287.]

Serv. ad Virg. Aen. V 830: *Fecere pedem*, i. e. podium, hoc est funem, quo tenditur velum, quod (l. *quem*) Graeci πόδα vocant, ut est apud Pindarum et Aristophanem.

312. 313. [182. 183.]

Eust. Il. λ 877, 55: εἶτά φησιν (Aristophanes Byz.) ὡς καὶ Πίνδαρός που τὰς Διομήδους ἵππους πρόβατα καλεῖ, τὴν φάτνην αὐτῶν λέγων προβάτων τράπεζαν (cf. praeterea ad Od. 1649, 5)· οὕτω δέ που, φησί, καὶ ἐπὶ τοῦ Πηγάσου ποιεῖ. quod videtur factum in carmine aliquo, ubi Bellerophontem celebravit, cf. Horat. Carm. IV 2, 14: *„Per quos cecidere iusta Morte Centauri, cecidit tremendae flamma Chimaerae.*

314. [281.]

Choeroboscus II 555 (Bekk. An. III 1287): Σημειούμεθα ... καὶ τὸ ῥερίφθαι ἔπος παρὰ τῷ σοφῷ Πινδάρῳ. Cf. Cram. An. Ox. IV 185, 16 et 415, 5. An. Par. IV 226, 16.

315. [282.]

Schol. Hom. ζ 24 ubi BL.: σκότιον τὸν ἐξ ἀδᾳδουχήτων γάμων νόθον λέγει, τὸ δὲ κύριον ὄνομα Σκοτίος. ABL.: σκότιον ὡς λόγιον, τὸ δὲ κύριον πρὸ τέλους ἔχει τὴν ὀξεῖαν καὶ παροξύνεται παρὰ Πινδάρῳ. cf. Cram. An. Par. III 284, 4.

316. [283.]

Et. M. 172, 10: καὶ παρὰ τούτων Δωρικῶς τουτάκι, ὡς παρὰ Πινδάρῳ· Τουτάκι πεξαμένης. Boeckh τουτάκι τε ζαμενής.

317. [284.]

Et. M. 249, 50 et Zonar. 466: δαυλός, ὁ δασύς, παρὰ τὸ δάσος γίνεται ῥῆμα δασῶ, ὡς τεῖχος τειχῶ, ἀφ' οὗ Πίνδαρος τετείχηται. Gaisford scripsit τετείχισται, quod est Isthm. V 44. Pyth. VI 9, contra mentem grammatici, sed potuit ille errare.

318.

Eustath. Prooem. 21: τόσσαι καλῶν· ἤγουν ἐπιτυχεῖν.

319. [219.]

Eustath. ad Dionys. Per. 467 de Sicilia Trinacria dicta, διὸ καὶ Λυκόφρων τρίδειρον νῆσον λέγει αὐτὴν καὶ ὁ Πίνδαρος τριγλώχινα, nisi forte erravit, nam Choeroboscus Bekk. An. III 1424 Callimachi versum adhibet: Τριγλώχιν ὀλοῷ νῆσος ἐπ' Ἐγκελάδῳ.

320.

Schol. Pind. Pyth. II inscript.: καταφέρεσθαι γάρ φησί πως τὸν Πίνδαρον εἰς τὸ τὰς μὲν Ἀθήνας λιπαρὰς προσαγορεύειν, τὰς δὲ Θήβας χρυσαρμάτους.

321. [285.]

Et. M. 304, 3: Κέρατα γὰρ καλοῦσι πάντα τὰ ἄκρα, ὥς φησι Πίνδαρος· Ὑψικέρατα πέτραν, ἀντὶ τοῦ ὑψηλὰ ἀκρωτήρια (ἔχουσαν). Cf. Et. Gud. 315, 12, Zonar. 1185, Eustath. Prooem. 27. Fort. imitatur Arist. Nub. 596: Δήλιε Κυνθίαν ἔχων ὑψικέρατα πέτραν.

322. [220.]

Galen. de puls. diff. VIII 681 ed. Lips. (T. III p. 38 ed. Bas.): Καίτοι γε οὐδ' ἀπὸ τῶν κυρίων ὡς ἔτυχε μεταφέρειν ἔξεστιν οὐδὲ τοῖς ποιηταῖς, ἀλλὰ κἂν Πίνδαρος ἤ τις ᾖ (vulgo εἴη τις ᾖ) Ὠκεανοῦ τὰ πέταλα τὰς κρήνας λέγων, οὐκ ἐπαινεῖται.

323.

Tzetz. Allegor. Il. v. 407: (Matranga Anecd. 14) Εἴπερ μὴ ὑπεδέξατο τούτους Ἀντήνωρ πρῶτον, ὅστις ὑστέρως ἔλαβε καὶ δωρεὰς πρεπούσας· τῆς Τροίας πορθουμένης γὰρ ἔσωσαν πάντα τούτου, καὶ

πλεῖστα δῶρα καὶ τερπνὰ δεδώκασιν ἐκείνῳ. ad ultimum hunc versum ascriptum scholion ap. Cram. An. Ox. III 378, 1: *τούτου μέμνηται Πίνδαρος.* sed fort. haec petita sunt ex schol. Pyth. V 108. Similis certe ratio Tzetz. Chil. IV 390: *Ῥόδιόν ἐστιν ὄρος, τὴν κλῆσιν Ἀταβύριον, χαλκᾶς πρὶν ἔχον βόας, αἳ μυκηθμὸν ἐξέπεμπον χωρούσης Ῥόδῳ βλάβης· Πίνδαρος καὶ Καλλίμαχος γράφει τὴν ἱστορίαν.* haec enim manifesto petita ex Schol. Ol. VII 159. — Non magis alia recepi quae leguntur apud Eustathium, velut quod est in Prooem. 21: *οὕτω δὲ καὶ τὸ π ρ ὰ ν Δωρικὸν ἀποροῖτο ἄν, διὰ τί μὴ περιήγαγε τὸ πρὶν εἰς τὴν διὰ τοῦ η̄ γραφήν,* ubi errore aliquo deceptus esse videtur Eustathius. Quod idem dicit Eust. Od. 1404, 22: *καὶ αὐτοδιδάκτους εἶναι φησὶ (τοὺς ἀοιδοὺς) καὶ ὡς εἰπεῖν θυμοσόφους, καὶ κατὰ Πίνδαρον α ὐ τ ό θ ε ν φ υ ᾷ ε ἰ δ ό τ α ς.* referendum ad Ol. II 86 — Quae leguntur ap. Eust. Il. 381, 38: *καὶ ὅτι Πίνδαρος ζηλώσας ν ί κ ῃ μ ί γ ν υ σ θ α ι τὸ νικᾶν καὶ ἔ ρ γ ῳ μ ί γ ν υ σ θ α ι τὸ ἐργάζεσθαι καὶ ἕτερα τοιαῦτα.* cf. ad Od. 1428, 34: *μ ί γ ν υ ν τ α ι ἀθληταί, Πινδαρικῶς εἰπεῖν, ν ί κ α ι ς.* ea exempla ficta sunt haud dubie. — Nec magis ambigere licet de alio loco Eust. Il. 346, 5: *εἰ δὲ καὶ Τ υ φ ά ω ν ὁ αὐτὸς ὀνομάζεται, καθὰ καὶ ἐν τοῖς τοῦ Πινδάρου δηλοῦται, τετραχῶς ἄρα σχηματίζεται τὸ δαιμόνιον. Τυφωεὺς γὰρ καὶ Τυφάων, Τυφάονος, ὅθεν τὸ Τ υ φ α ο ν ί ω ν ἀ λ α λ η τ ῶ ν* (Oppiani est, vid. Eust. Od. 1659, 51), *καὶ κατὰ κρᾶσιν Τυφῶν, καὶ ὡς ἐν δικαταληξίᾳ Τυφῶς.* Sunt haec ad commentarios in Pindarum referenda. — Quod dicit Tzetzes Epist. p. 23 ed. Pressel: *εὐπαλάμων τε ὕμνων τελοῦντι κατὰ Πίνδαρον τέκτονι Cratini* est, vid. Aristoph. Eq. 530. De aliis vid. Boeckh T. II 1 p. XXIX seq. et T. II 2 p. 685 seq.

Pindari fortasse fr. delitescit ap. Schol. Il. β 373: *ἀπὸ τῶν ὀφθαλμῶν ἡ μεταφορά, οἳ σὺν τῷ μύειν τοῦ φωτὸς στερίσκονται.* ubi cod. V addit: *ὅθεν ἔ τ ι ὀ φ θ α λ μ ὸ ν ἔ σ ε σ θ α ι τ ὴ ν Ἑ λ λ ά δ α ἔ φ α, καί· Σ ι κ ε λ ί α ς τ' ἔ σ α ν ὀ φ θ α λ μ ο ί* (vid. Pind. Ol. II 9). conieci olim: *ὀ φ θ α λ μ ὸ ν ἔ σ σ ε σ θ α ί ν ι ν Ἑ λ λ ά δ ο ς ἔ φ α.* De aliis versibus, qui probabiliter ad Pindarum referri possunt, vide *Fragmenta Adespota.*

EPIGRAMMA.

Χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφου ἀντιβολήσας,
Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης.

Epigramma boc legitur apud Proclum nd Hesiod. p. 7 ed. Gaisf. *Ὀρχομένιοι δὲ ὕστερον κατὰ χρησμὸν ἐνεγκόντες τὰ Ἡσιόδου ὀστᾶ θάπτουσιν ἐν μέσῃ τῇ ἀγορᾷ, καὶ ἐπέγραψαν τάδε· Ἄσκρη μὲν πατρὶς πολυλήιος, ἀλλὰ θανόντος ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστίν, ἀνδρῶν κρινομένων ἐν βασάνοις σοφίης. Ἐπέγραψε δὲ καὶ Πίνδαρος· χαῖρε κτλ.* eademque totidem verbis Ioh. Tzetz. vit. Hes. p. 17. Omuino vita Hesiodi, quac Proclo tribuitur, huic abiudicanda: cst enim prorsus indigna bomine hoc erudito et modesto: nugae et couvicia, quibus inquinata est, satis superque testificautur a Tzetza esse conscriptam, (vidit hoc etiam Rose Aristot. Pseudepigr. 508 seqq.) atque congruit mirum in modum cum altera vita, quae ipsius Tzetzac uomeu prae se fert, si a paucis quibusdam discesseris, velut quae leguntur dc sacerdotc caupone: haec aut sobrii iudicii librarius praetermisit, aut Tzetzes cum opusculum suum rectractaret addidit. Proclus dc vita et carmiuibus Hesiodi nihil commentatus erat, id ipsum Tzetzes p. 10 ei opprobrio vertit, itaque ut hoc suppleret, hacc pracmisit, aliunde ut solet furatus, quac alicuius momenti sunt. Repetitum autem est hoc epigramma ex Aristoteliis libris de Orchomeniornm republica, quod coguovimus ex Appcnd. Proverb. IV 92: *Τὸ Ἡσιόδειον γῆρας· Ἀριστοτέλης ἐν Ὀρχομενίων πολιτείᾳ δὶς τεθάφθαι φησὶ τὸν Ἡσίοδον καὶ ἐπιγράμματος τοῦδε τυχεῖν· Χαῖρε κτλ. παρόσον τό τε γῆρας ἀπέβη καὶ δὶς ἐτάφη·* Piudari ibi uomen uou commemoratur, sed tuetur Suidas: *Τὸ Ἡσιόδειον γῆρας· ἐπὶ τῶν ὑπεργήρων· φέρεται γὰρ καὶ ἐπίγραμμα Πινδάρου τοιοῦτον· Χαῖρε κτλ.* Aristotelis hoc libro etiam Tzetzes utitur p. 15, de Stesicbori et Hesiodi uecessitatc verba faciens, quem librum ea levitate atque audacia, qua a uostri demum saeculi homiuibus superatur, philosopho abiudicat, haud dubie quod similitudiuem quandam intercedere iuter hos titulos et Pepli epigrammata auimadvertit. Tzetzem ipsius Aristotelis librum uunquam vidisse ccrtum est: crederes libro de certamiue Homeri et Hesiodi magis iutegro usum esse, at huuc librum si vidisset, multo plura iude esset mutuatus. — Iam si Tzetzae fides est, Pindari hoc epigramma fuit eidem mouumento inscriptum, iu quo quatuor illi versus, quos sec. Pausan. IX 38, 10 Orchomouii Chersiae tribuebant. — V. 1. *τάφου*, *τάφον* App. Paroem., *τάφων* tres codd. Suidae (ABE).
